www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

**Homerus**

**[Basel], [1541]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Iliados I

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

Εἴην ἀθάνατος, καὶ ἀγήρως ἤματα πάντα,
Τιοίμην δ' ὡς τίετ' Ἀθηναίη, καὶ Ἀπόλλων,
Ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν.
Ὣς Ἕκτωρ ἀγόρευ'. ἐπὶ δὲ Τρῶες κελάδησαν,
Οἳ δ' ἵππους μὲν λῦσαν ὑπὸ ζυγοῦ ἱδρώοντας.
Δῆσαν δ' ἱμάντεσσι παρ' ἅρμασιν οἷσιν ἕκαστος.
Ἐκ πόλιος δ' ἄξαντο βόας, καὶ ἴφια μῆλα
Καρπαλίμως. οἶνον δὲ μελίφρονα οἰνίζοντο,
Σῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο
Κνίσην δ' ἐκ πεδίου ἄνεμοι φέρον οὐρανὸν εἴσω.
Οἱ δὲ, μέγα φρονέοντες, ἐπὶ πτολέμοιο γεφύρῃ
Εἵατο παννύχιοι. πυρὰ δέ σφισι καίετο πολλά.
Ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην
Φαίνετ' ἀριπρεπέα. ὅτε τ' ἔπλετο νήνεμος αἰθήρ,
Ἔκ τ' ἔφανον πᾶσαι σκοπιαὶ, καὶ πρώονες ἄκροι,
Καὶ νάπαι, οὐρανόθεν δ' ἄρ ὑπερράγη ἄσπετος αἰθήρ,
Πάντα δέ τ' εἴδεται ἄστρα, γέγηθε δέ τε φρένα ποιμήν.
Τόσα μεσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων,
Τρώων καιόντων, πυρὰ φαίνετο ἰλιόθι πρό.
Χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο. πὰρ δὲ ἑκάστῳ
Εἵατο πεντήκοντα σέλᾳ πυρὸς αἰθομένοιο.
Ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι, καὶ ὀλύρας,
Ἑσταότες παρ' ὄχεσφιν, ἐΰθρονον ἠῶ μίμνον.

κελάδησαν.] ἐβόησαν μετὰ θορύβου. ἴφια μῆλα.] εὐτραφῆ, μετάληψις ὁ τρόπος. εἵατο.] ἐκαθέζοντο. φαεινὴν ἀμφὶ σελήνην.] τὴν φύσει λαμπράν. τοῦτο γὰρ καθόλου τῆς σελήνης ἐπιθετικόν ἐστι, κἂν μὴ πανσέληνος ᾖ. ἀριπρεπέα.] πάνυ εὐπρεπῆ. διάδηλα. ἔπλετο.] ἐγένετο, ἦν. νήνεμος.] χωρὶς ἀνέμου. σκοπιαί.] σκοποὶ, ὑψηλοὶ τόποι. πρώονες.] οἱ προυχοῦντες τῶν ὀρῶν τόποι, καὶ προβεβλημένοι παρὰ τὸ προέχειν. εἴδεται.] φαίνεται. γέγηθε δὲ φρένα ποιμήν. ποιμένα εἶπεν ἀντὶ τοῦ βουκόλος. διὰ νυκτὸς γὰρ οἱ βόες νέμονται. κατάχρησις ὁ τρόπος. μεσηγύ.] ἀναμέσον. ἰλιόθι πρό.] πρὸ τοῦ Ἰλίου. πὰρ δὲ ἑκάστῳ εἵατο πεντήκοντα σέλα πυρὸς αἰθομένοιο.] τῷ ἑκάστῳ. συναπτέον τὸ σέλα, ἵν' ᾖ παρ' ἑκάστῳ σέλαι καὶ φωτὶ τοῦ πυρὸς, τουτέστι παρ' ἑκάστῃ πυρᾷ. ἐκ τούτων δ' ἄν τις καταμάθοι τὸ πλῆθος τῶν Τρώων. ὅτι ε̄. μυριάδες ἦσαν οἱ πολῖται. εἵατο.] ἐκαθέζετο. σέλα.] φωτὶ, πυρᾷ. ὅθεν καὶ ἡ τὸ φῶς ἡμῖν παρέχουσα, σελήνη εἴρηται. κρῖ.] κριθάς. ἀποκοπὴ ὁ τρόπος. ὀλύρας.] εἶδος σπέρματος παραπλησίου κριθῇ. ἐΰθρονον.] καλὸν θρόνον ἔχουσα. βασιλικὸν ἢ καλὸν ἅρμα μεταληπτικῶς. μίμνον.] ἔμενον.

ΙΛΙΑΔΟΣ

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ι ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἀγαμέμνονος συμβουλεύσαντος τοῖς Ἕλλησι φεύγειν, ἵστανται τὴν ἐναντίαν, ἀποφαινόμενοι γνώμην Διομήδης καὶ Νέστωρ. συμβουλεύσαντος δὲ Νέστορος, πρὸς Ἀχιλλέα πέμπονται πρέσβεις, καὶ δεηθεῖσιν ἀντεῖπεν αὐτοῖς Ἀχιλλεύς. οἱ δὲ ἀπαγγέλλουσι. καὶ μετὰ ταῦτα εἰς ὕπνον τρέπονται.

## ΚΑΙ ἈΛΛΗ.

Ἐπαυλισαμένων τῶν πολεμίων διὰ τὴν κατὰ τὸν πόλεμον εὐημερίαν παρὰ τῷ ναυστάθμῳ, Ἀγαμέμνων ἀπηλπικὼς τὴν σωτηρίαν, ἐπὶ τῆς ἐκκλησίας ἀποφαινόμενος γνώμην, ἀποφεύγειν ἐπιβάντας τῶν νεῶν κελεύει τοὺς Ἕλληνας. Διομήδους δὲ ἀντειπόντος, Νέστωρ παραυτίκα ἀμείβεται τοῦτον. προστίθησι δὲ τὰ λείποντα αὐτοῦ τοῖς λόγοις. φύλακας κελεύων ἤδη τὴν τάφρον ἐκπέμπειν. καὶ τοὺς ἀρίστους ἀθροίσαντα βουλεύεσθαι μετ' αὐτῶν περὶ ἐπειγόντων. πείθεται τούτοις ὁ βασιλεύς. καὶ τοὺς ἀρίστους ἑστιᾷ. ἐν οἷς πάλιν Νέστωρ Ἀγαμέμνονι σύμβουλος τῶν καλλίστων γίνεται. τῆς μὲν πρὸς τὸν Ἀχιλλέα κελεύων αὐτὸν ὀργῆς λαθέσθαι. πρὸς δὲ τὸν ἐπείγοντα καιρὸν ἁρμόσασθαι. καὶ πρεσβείαν ὡς τὸν τοῦ Πηλέως ἀποστεῖλαι. τοῦ δὲ βασιλέως καὶ δῶρα πολλὰ ὑπισχνουμένου δώσειν, καὶ κηδεστὴν ἀξιώσαντος γενέσθαι, παραγίνονται πρὸς αὐτὸν πρέσβεις, ὅ τε Ἰθακήσιος καὶ ὁ τοῦ Τελαμῶνος, καὶ πρὸς τούτοις Φοῖνιξ. τῶν δὲ πρέσβεων ἐλθόντων καὶ τὴν δέησιν ποιησαμένων. καὶ τὰ κατὰ τοὺς Ἕλληνας μηνυσάντων. καὶ τὴν ἔπειξιν δηλούντων. ἄτεγκτος ὁ Ἀχιλλεύς, καὶ οὐδ' ὅλως ἐνδιδοὺς πρὸς τὴν ἀκοὴν τῶν Ἑλληνικῶν πραγμάτων εὑρίσκεται. ἀλλὰ μνησικακῶν μὲν τῷ Ἀγαμέμνονι. τῶν δὲ δώρων καταφρονῶν, καὶ τῆς συγγενείας τοῦ βασιλέως ὑπερφρονῶν. καὶ μετὰ τοῦτο Φοῖνιξ πείθειν αὐτὸν πειρᾶται. καὶ δακρύει τὴν παροῦσαν τῶν Ἑλλήνων τύχην, ὡς εἰς ἔλεον αὐτὸν ὑπάξων. καὶ τῆς ἐπὶ τὴν πρώτην ἡλικίαν ὑπομιμνήσκει τροφῆς. καὶ ὅτι οὐ χρὴ πάντα μητρὶ πείθεσθαι, παραδείγματι τῷ κατὰ τὴν παλλακίδα· δι' ὧν εἶπεν, αἰνίττεται. καὶ ὡς πρὸς ἀνάγκην βοηθήσας χωρὶς τιμῆς μεταγνώσεται, τὴν Μελεάγρου μάχην, καὶ Αἰτωλῶν διηγούμενος. ὅτι δὲ Φοῖνιξ πρεσβευτὴς δυστυχής. καὶ γὰρ καὶ αὐτὸς ἐπίσης τοῖς ἄλλοις ἀποτυγχάνει. ὅτε δὲ ὁ συγγενὴς αὐτὸν Αἴας ἔτρεψεν ἐπιπλήξαντι καὶ ἱκετεύων καὶ λοιδορούμενος. καὶ παντὶ τρόπῳ πεῖσαι πειρώμενος, ἀλλὰ Φοίνικα μὲν παρ' ἑαυτῷ κατέχει Ἀχιλλεύς. Ὀδυσσεὺς δὲ σὺν Αἴαντι τὰ πρὸς τοῦ Ἀχιλλέως ἀπεπρεσβεύετο τοῖς Ἕλλησιν. ἐφ' οἷς Διομήδης καταμέμφεται μὲν Ἀχιλλέως, ὡς οὐ δεόντως ἀμέτρῳ ὀργῇ σχολάζοντος. τοὺς δὲ ἀρίστους ἐπὶ τὴν μάχην προτρέπεται.

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ι ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΝ.

Φυλακὰς ἔχον.] ἐφύλασσον. καλῶς δὲ εἶπεν. οἱ μὲν γὰρ Τρῶες τὰς φυλακὰς εἶχον, ἵνα μὴ φύγωσιν οἱ Ἕλληνες διὰ νυκτός· οἱ δὲ Ἕλληνες εἴχοντο ὑπὸ τοῦ δέους. θεσπεσίη.] θεία, πολλή. ἰδίως μὲν διὰ τοὺς Τρῶας, ἰδίως δὲ διὰ τὸν πεσόντα κεραυνόν. ἔχε.] εἶχεν, ἐκράτει. φύζα.] ἡ μετὰ δέους φυγή. κρυόεντος.] φρικτοῦ, φοβεροῦ. σημαίνει γὰρ τοὺς φοβουμένους συγκρούειν τοὺς ὀδόντας. ἑταίρη.] συνεργός, φίλη. σημειωτέον δὲ ὅτι τὴν φυγὴν ὁ Ποιητὴς τοῦ φόβου εἴρηκεν ἑταίραν. ἀτλήτῳ.] ἀνυπομονήτῳ, ἀφορήτῳ. βεβολήατο.] τὴν ψυχὴν τετρωμένοι ἦσαν, ἐλυποῦντο. ὡς δ' ἄνεμοι δύο.] καλῶς δύο ἀνέμους παρέλαβε ταράσσοντας τὸ πέλαγος, ἵνα καὶ δύο πάθη ψυχῆς παραστήσῃ, ὥσπερ φησίν. εἰώθασι δύο ἄνεμοι ταράσσειν τὴν θάλασσαν ἐκ βυθοῦ. οὕτω καὶ οἱ Ἕλληνες ἐταράσσοντο ὑπὸ τῶν δύο χαλεπωτάτων παθῶν, λύπης τε καὶ φόβου. ὀρίνετον.] ταράσσουσι, δινοῦσι. Βορέης καὶ Ζέφυρος τώ τε Θρήκηθεν ἄητον.] πῶς ἀμφοτέρους ἐκ Θράκης φησὶ πνεῖν, τοῦ μὲν Βορέου ἐξ Ἄρκτου, τοῦ δὲ Ζεφύρου ἐκ Δύσεως πνέοντος. ῥητέον οὖν ὅτι ἡ τῶν Θρακῶν γῆ ἐπὶ πολὺ διήκει, καὶ σιγματοειδὴς κεῖται τῇ θέᾳ μέχρι τῆς Δύσεως· ἀφ' ἑκατέρου οὖν μέρους τῶν ἀνέμων ἔχει ἑκάτερον. οἱ δέ φασιν ὅτι συλληπτικῶς πέφρακε, μόνος γὰρ ὁ Βορέας ἀπὸ Θράκης πνεῖ. τώ τε Θρήκηθεν ἄητον.] οἵτινες ἀπὸ Θράκης πνέουσιν. ἄμυδις.] ὁμοῦ, ἐξαίφνης. κελαινόν.] μέλαν, ἐκ τοῦ φρικτόν. κορθύεται.] κορυφοῦται, αὔξεται. ἔνιοι δὲ ἀντὶ τοῦ σωρεύεσθαι ἤκουσαν. κόρθυς γὰρ ὁ σωρός. παρὲξ ἅλα.] ἔξω παρὰ τὴν θάλασσαν. φῦκος.] τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα. οἱ δὲ φυκία φασὶ βοτάνην τὴν ἐν τῷ βυθῷ τῆς θαλάσσης γιγνομένην. ἔχευεν.] ἔξω ἔβαλον. ἐδαΐζετο.] ἐταράσσετο, διεκόπτετο. ἄχεϊ μεγάλῳ.] μεγάλῃ λύπῃ. βεβλημένος ἦτορ.] ὥσπερ τὴν ψυχὴν βεβλημένος καὶ ἐκπεπληγμένος. φοίτα.] παραγίγνετο, περιῄει. κλήδην.] καλοῦντας, κηρύσσοντας. μὴ δὲ βοᾶν.] μὴ δὲ βοῶντας. νυκτὸς γὰρ οὔσης καὶ πλησίον ὄντων τῶν πολεμίων, οὐ πάντας καλεῖ, ἵνα μή τις ταραχὴ γένηται. πονεῖτο.] ἐνήργει. μελάνυδρος.] πολύυδρος. φύσει γὰρ μέλαν τὸ ὕδωρ, ἀλλὰ λαμπρύνεται ταῖς ἡλιακαῖς αὐγαῖς, ἢ βαθεῖα. τοῦ γὰρ μελαίνεσθαι αἴτιον τὸ βάθος. αἰγίλιπος.] ὑψηλῆς, ἣν αὖ καὶ αἲξ ἀπολίπῃ διὰ τὸ ἄγαν ὑψηλὸν καὶ δύσβατον. ἐν γὰρ τοῖς κρημνοῖς αἱ αἶγες ὡς ἐπίπαν νέμονται. ἡ δὲ παραβολὴ πρός τε τὸ πλῆθος

# ΙΛΙΑΔΟΣ Ι ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

Ἔξεστι δ' Ἀχιλῆος ἀπειθέος ὄψιν ἰῶτα.

Ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον. αὐτὰρ Ἀχαιοὺς
Θεσπεσίη ἔχε φύζα, φόβου κρυόεντος ἑταίρη.
Πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι.
Ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα,
Βορέης, καὶ Ζέφυρος, τώ, τε Θρήκηθεν ἄητον
Ἐλθόντ' ἐξαπίνης. ἄμυδις δέ τε κῦμα κελαινὸν
Κορθύεται. πολλὸν δὲ παρὲξ ἅλα φῦκος ἔχευαν.
Ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσιν Ἀχαιῶν.
Ἀτρείδης δ' ἄχεϊ μεγάλῳ βεβλημένος ἦτορ,
Φοίτα κηρύκεσσι λιγυφθόγγοισι κελεύων,
Κλήδην εἰς ἀγορὴν κικλήσκειν ἄνδρα ἕκαστον,
Μὴ δὲ βοᾶν. αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο.
Ἷζον δ' εἰν ἀγορῇ τετιηότες. ἂν δ' Ἀγαμέμνων
Ἵστατο δακρυχέων. ὥς τε κρήνη μελάνυδρος,
Ἥ τε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ,
Ὣς ὁ βαρὺ στενάχων, ἔπε' Ἀργείοισι μετηύδα,
Ὦ φίλοι, Ἀργείων, ἡγήτορες, ἠδὲ μέδοντες,
Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ,
Σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο, καὶ κατένευσεν,
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον, ἀπονέεσθαι.
Νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο καί με κελεύει
Δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
Οὕτω που Διῒ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
Ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα,
Ἠδ' ἔτι καὶ λύσει, τοῦ, γὰρ κράτος ἐστὶ μέγιστον,
Ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες,
Φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν,
Οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν,
Ὣς ἔφαθ'. οἱ δ' ἄρα πάντες, ἀκὴν ἐγένοντο σιωπῇ,

Δὴν δ'

τῶν δακρύων ἔλυπται καὶ τῶν πραγμάτων. δνοφερόν.] μέλαν. χέει.] χεῖ, πέμπει. ἐνέδησεν.] ἐνέβαλε. δηρόν.] πολλῷ χρόνῳ, ἐπιπολύ. ἄνεῳ.] ἄφωνοι, ἥσυχοι. τετιηότες.] τετιμωρημένοι, λυπούμενοι. σοὶ πρῶτα μαχήσομαι.] ἀντὶ τοῦ τῷ λόγῳ σου. ἀφραδέοντι.] ἀσυνετοῦντι. ἣ θέμις ἐστὶν ἄναξ ἀγορῇ.] ὡς νόμος ἐστὶν ἐν ἐκκλησίαις τὸν βουλόμενον λέγειν ἀκωλύτως, ὥσπερ ἐν δημοκρατίᾳ. ἀλκὴν μέν μοι πρῶτος ὠνείδισας ἐν Δαναοῖσι.] ἰσχύν μοι πρῶτος ὠνείδισας ἐν τοῖς Ἕλλησιν ὡς ἀνάνδρου. ἤτοι δὲ ἐν ἤθει λέγει. τὴν μέν τοι ἀναφορὰν ἔχει ταῦτα ἐπὶ τὰ ῥηθέντα ὑπὸ Ἀγαμέμνονος ἐν τῇ δ' ῥαψῳδίᾳ· ὤμοι Τυδέως υἱὲ δαΐφρονος ἱπποδάμοιο, τί πτώσσεις, τί δ' ὀπιπτεύεις πτολέμοιο γεφύρας, καὶ τὰ ἑξῆς.

φάς.] φήσας, εἰπών. ἀπτόλεμον.] ἄπειρον πολέμου, ἄμαχον. ἠμὲν νέοι ἠδὲ γέροντες.] γέροντας εἶπε, διὰ τὸν Νέστορα ἐπεὶ μικρῷ πρότερον αὐτὸν ἐσεσώκει ἐν τῷ πολέμῳ. διάνδιχα δῶκε.] τοῖν δυοῖν ἕτερον ἔδωκε. πέρι.] περισσῶς, πάνυ. ὅ τε κράτος ἐστὶ μέγιστον.] ὃ κράτιστόν ἐστιν. ὡς ἀγορεύεις.] ὡς λέγεις. ἐπέσσυται.] ἐφορμᾷ. πάρ τοι ὁδός.] πάρεστί σοι τὰ πρὸς τὴν ὁδὸν ἡτοιμασμένα εἰ βούλει ἀπαλλάττεσθαι. νῆες δέ τοι ἄγχι θαλάσσης.] αἱ δὲ νῆές σου ἐγγὺς τῆς θαλάσσης εἰσί· διὰ δὲ τοῦ πλήθους τῶν νεῶν δειλίαν αὐτοῦ κατηγορεῖ. εἰ δὲ καὶ αὐτοὶ φευγόντων.] προσληπτέον τὸ βούλονται, ἵν' ᾖ, ἐὰν δὲ καὶ αὐτοὶ βούλονται, φευγέτωσαν· ἔστωσαν τοῦ φευγόντων. ἀγασσάμενοι.] θαυμάσαντες. ὁμήλικας.] συνήλικας τῆς αὐτῆς ἡλικίας. ἔπλευ.] ἐγένου.

οὔ τίς τοι τὸν μῦθον ὀνόσσεται.] οὐδεὶς ἄν σου τὸν λόγον ἐκφαυλίσῃ καὶ μέμψηται. πῶς δὲ ὁ Νέστωρ τὸ τέλειον ἀποδοὺς τῷ Διομήδους λόγῳ λέγειν αὐτὸς ἐπιχειρεῖ; ῥητέον ὅτι τῆς ὕβρεως τὴν μνήμην καὶ Διομήδης πεποίηται καὶ Νέστωρ αὐτῷ τελείως γεγενῆσθαι μαρτυρεῖ. ὅπερ δὲ δεῖ πράσσειν ἐν καιρῷ Διομήδης μὲν παρέλιπεν, ἐκεῖνος δ' εἰσηγεῖται. οὐδὲ πάλιν ἐρέει.] οὐδὲ τὰ ἐναντία σοι ἐρεῖ.

ἀτὰρ οὐ τέλος ἵκεο μύθων.] οὐ μὴν τέλος ἐπέθηκας τῷ λόγῳ σου. τὰ μὲν γὰρ πρὸς τὸν βασιλέα δεόντως φησὶν εἰρῆσθαι· ἐλλείπειν δὲ τὰ τῆς συμβουλῆς καὶ παραφυλακῆς ἅτινα αὐτὸς ἀναπληρώσει. ἦ μὴν καὶ νέος ἐσσί.] νέος μὲν δὴ ὑπάρχεις. ἐμὸς δέ κε καὶ παῖς ἦς ὁπλότερος γενεῆφιν.] ἐμὸς δ' ἂν καὶ παῖς νομισθείης καὶ τῶν παίδων μου ὁ νεώτατος. ἀτάρ.] καὶ δή. πεπνυμένα βάζεις Ἀργείων βασιλῆας.] συνετῶς δὲ λέγεις παρὰ πάντας τοὺς βασιλεῖς τῶν Ἑλλήνων. γεραίτερος.] παλαιότερος, πρεσβύτερος. διίξομαι.] διελεύσομαι, πληρώσω. ἀφρήτωρ.] ὁ φρατρίαν καὶ συγγένειαν μὴ ἔχων· φρατρία δὲ κυρίως ἐστὶ τρίτον μέρος τῆς φυλῆς. ἀθέμιστος.] ἄδικος ἄνθρωπος. ὃς πολέμου ἔραται.] ὅστις πολέμου ἐρᾷ. ἐπιδημίου.] τοῦ ἐμφυλίου, τοῦ μὴ πρὸς πολεμίους ἀλλὰ πρὸς οἰκείους γιγνομένου. λέγει δὲ τοῦτο αἰνιττόμενος τὸν Ἀχιλλέα. φυλακτῆρες.] ἀντὶ τοῦ φύλακες, ἀπὸ

Δὴν δ' ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν,
Ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης,
Ἀτρείδη, σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι,
Ἣ θέμις ἐστὶν ἄναξ ἀγορῇ, σὺ δὲ μή τι χολωθῇς.
Ἀλκὴν μέν μοι πρῶτος ὀνείδισας ἐν Δαναοῖσι,
Φὰς ἔμεν ἀπτόλεμον, καὶ ἀνάλκιδα, ταῦτα δὲ πάντα
Ἴσασ' Ἀργείων ἠμὲν νέοι, ἠδὲ γέροντες.
Σοὶ δὲ διάνδιχα δῶκε Κρόνου πάϊς ἀγκυλομήτεω,
Σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων,
Ἀλκὴν δ' οὔ τοι δῶκεν, ὅ, τε κράτος ἐστὶ μέγιστον,
Δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
Ἀπτολέμους τ' ἔμεναι, καὶ ἀνάλκιδας ὡς ἀγορεύεις.
Εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται, ὥς τε νέεσθαι,
Ἔρχεο, πάρ τοι ὁδός, νῆες δέ τοι ἄγχι θαλάσσης
Ἑστᾶσ', αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί.
Ἀλλ' ἄλλοι μενέουσι καρηκομόωντες Ἀχαιοί,
Εἰσόκε περ Τροίην διαπέρσομεν. εἰ δὲ καὶ αὐτοί,
Φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν,
Νῶϊ δ' ἐγὼ, Σθένελός τε, μαχησόμεθ' εἰσόκε τέκμωρ
Ἰλίου εὕρωμεν, σὺν γὰρ θεῷ εἰλήλουθμεν.
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν,
Μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
Τοῖσι δ' ἀνιστάμενος, μετεφώνεεν ἱππότα Νέστωρ.
Τυδείδη, περὶ μὲν πολέμῳ ἔνι καρτερός ἐσσι,
Καὶ βουλῇ μετὰ πάντας ὁμήλικας ἔπλευ ἄριστος,
Οὔτίς τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοί,
Οὐδὲ πάλιν ἐρέει. ἀτὰρ οὐ τέλος ἵκεο μύθων.
Ἦ μὴν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάϊς εἴης,
Ὁπλότερος γενεῆφι, ἀτὰρ πεπνυμένα βάζεις
Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔειπες,
Ἀλλ' ἄγ' ἐγὼν, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,
Ἐξείπω, καὶ πάντα διίξομαι. οὐδέ κέ τίς μοι
Μῦθον ἀτιμήσει, οὐδὲ κρείων Ἀγαμέμνων,
Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
Ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
Ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ,

Δόρπα τ'

Δόρπα τ' ἐφοπλισόμεσθα, φυλακτῆρες δὲ ἕκαστοι
Λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.
Κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι, αὐτὰρ ἔπειτα
Ἀτρείδη, σὺ μὲν ἄρχε, σὺ γὰρ βασιλεύτατός ἐσσι.
Δαίνυ δαῖτα γέρουσιν, ἔοικέ τοι οὔτι ἀεικές.
Πλεῖαί τοι οἴνου κλισίαι, τὸν νῆες Ἀχαιῶν,
Ἠμάτιαι Θρῄκηθεν ἐπ' εὐρέα πόντον ἄγουσι.
Πᾶσά τοι ἐσθ' ὑποδεξίη, πολέεσσι δ' ἀνάσσεις,
Πολλῶν δ' ἀγρομένων, τῷ πείσεαι, ὅς κεν ἀρίστην
Βουλὴν βουλεύσῃ. μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
Ἐσθλῆς, καὶ πυκινῆς, ὅτι δήϊοι ἐγγύθι νηῶν,
Καίουσι πυρὰ πολλά. τίς ἂν τάδε γηθήσειε;
Νὺξ δ' ἥδ', ἠὲ διαρραίσει στρατὸν, ἠὲ σαώσει.
Ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσσεύοντο,
Ἀμφί τε Νεστορίδην Θρασυμήδεα ποιμένα λαῶν,
Ἠδ' ἀμφ' Ἀσκάλαφον, καὶ Ἰάλμενον, υἷας Ἄρηος,
Ἀμφί τε Μηριόνην, Ἀφαρῆά τε, Δηίπυρόν τε,
Ἠδ' ἀμφὶ Κρείοντος υἱὸν, Λυκομήδεα δῖον.
Ἑπτ' ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ἑκάστῳ
Κοῦροι ἅμ' ἔστιχον, δολίχ' ἔγχεα χερσὶν ἔχοντες,
Κὰδ δὲ μέσον τάφρου καὶ τείχεος ἷζον ἰόντες,
Ἔνθα δὲ πῦρ κήαντο, τίθεντο δὲ δόρπον ἕκαστος,
Ἀτρείδης δὲ γέροντας ἀολλέας ἦγεν Ἀχαιῶν
Ἐς κλισίην, παρὰ δέ σφι τίθει μενοεικέα δαῖτα.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖς, ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή.
Ὅσφιν ἐϋφρονέων ἀγορήσατο, καὶ μετέειπεν.
Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Ἐν σοὶ μὲν λήξω. σέο δ' ἄρξομαι, οὕνεκα πολλῶν,
Λαῶν ἐσσι ἄναξ, καί τοι Ζεὺς ἐγγυάλιξε
Σκῆπτρόν τ', ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύῃσθα,
Τῶ σε χρὴ περὶ μὲν φάσθαι ἔπος, ἠδ' ἐπακοῦσαι,
Κρηῆναι δὲ καὶ ἄλλῳ, ὅταν τινὰ θυμὸς ἀνώγῃ,
Εἰπεῖν εἰς ἀγαθόν. σέο δ' ἕξεται ὅττι κεν ἄρχῃ.
Αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα,
Οὐ γάρ τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει,
Οἷον ἐγὼ νοέω ἠμὲν πάλαι, ἠδ' ἔτι καὶ νῦν.
Ἐξέτι τοῦ, ὅτε Διογενὲς † Βρισηΐδα κούρην
Χωομένου Ἀχιλῆος, ἔβης κλισίηθεν ἀπούρας.
Οὔτι καθ' ἡμέτερόν γε νόον. μάλα γάρ τοι ἔγωγε
Πόλλ' ἀπεμυθεόμην, σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
Εἴξας, ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν
Ἠτίμησας. ἑλὼν γὰρ ἔχεις γέρας. ἀλλ' ἔτι καὶ νῦν,
φραζώμεσθ'

κες. ἀπὸ ὀρθῆς τοῦ φυλακτήρ. λεξάσθων.] λεξάσθωσαν, συναριθμηθήτωσαν, κατακλινθήτωσαν. ἄρχε.] ἡγοῦ, ἡγεμόνευε. δαίνυ δαῖτα γέρουσιν.] εὐωχίασον, ἑστίασιν κάλει τοὺς ἐντίμους. ἔοικέ τοι.] πρέπον σοι ἐστίν. οὔτοι ἀεικές.] οὐκ ἔστι σοι ἀπρεπές. ἠμάτιαι.] καθ' ἑκάστην ἡμέραν. πᾶσά τοι ἐσθ' ὑποδεξίη.] πάρεστί σοι ἀφθόνως ἡ πρὸς ὑποδοχὴν δαψίλεια. ἀγρομένων.] ἀθροισθέντων, συνελθόντων. τῷ πείσεαι.] τούτῳ πεισθήσῃ. βουλὴν βουλεύσῃ.] τὸ σχῆμα παρωνομασία. πυκινῆς.] πυκνῆς, συνετῆς. τίς ἂν τάδε γηθήσειε.] προσληπτέον τὸ ἰδών. τίς ἂν χαρείη βλέπων ταῦτα οὕτω πραττόμενα. νὺξ ἥδ'.] αὕτη δὲ ἡ νύξ. διαρραίσει.] διαφθερεῖ. ἐσσεύοντο.] ἐξήεσαν, ἐξώρμων. ἀμφί.] περί.

Θρασυμήδεα.] Θρασυμήδην. ὁ δὲ τρόπος ἔκτασις. τὸ ἔθος Ἰώνων. πῦρ κήαντο.] πῦρ ἀνῆψαν. ἀολλέας.] ἀθρόους. μενοεικέα.] τῷ μένει ἥκουσαν αὐτάρκη. οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα.] οἱ δὲ ἐπὶ τὰ ἑτοῖμα βρώματα ἐξέτειναν τὰς χεῖρας καὶ ἤσθιον. ὀνείατα.] βρώματα τὴν ὄνησιν παρέχοντα.

ἴαλλον.] ἔπεμπον, ἐξέτεινον. ὑφαίνειν.] κατασκευάζειν. μεταφορικῶς. ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι.] σύ μοι καὶ ἀρχὴ καὶ τέλος ἔσῃ τῶν λόγων. ἐγγυάλιξεν.] ἐνεχείρησεν, ἔδωκε. περὶ μὲν φάσθαι.] περισσῶς μὲν βουλεύεσθαι, ὑπὲρ πάντας λέγειν. κρηῆναι.] ἐπιτελέσαι, ἐπιτρέψαι, ἢ πεισθῆναί σε καὶ εἰς τέλος ἀγαγεῖν, καὶ τὸ ὑπὸ ἄλλου καλῶς λεγόμενον. σέο δ' ἕξεται.] ἤτοι ἐν τῇ σῇ ἐξουσίᾳ ἔσται τοῦ τὸ ἔργον δοκιμάσαι. ἤτοι τὸ τῶν λόγων κατόρθωμα σὸν ἔσται. εἰς σὲ γὰρ ἀνενεχθήσεται ἐάν τε εἰς ἀγαθὸν ἢ ἀγαθὴν εἰσενέγκεσθαι γνώμην. ὅττι κεν ἄρχῃ.] ὅτι ἂν κρατῇ, καὶ συμφέρῃ. νόον.] νοῦν, γνώμην. ἐξέτι τοῦ.] ἀπ' ἐκείνου τοῦ χρόνου, ἕως τοῦ νῦν. διογενοῦς.] περισπωμένως ἀναγνωστέον, συναίρεσιν γὰρ ἔπαθε. ἐπεὶ τὸ ἐντελές ἐστι Διογενέος. τοῦ ἀπὸ Διὸς τὸ γένος ἔχοντος. οὔτι καθ' ἡμέτερόν γε νόον.] οὐ κατὰ τὴν ἡμετέραν γνώμην. ἀπεμυθεόμην.] ἀπηγόρευον, ἐκώλυον. γράφεται δὲ καὶ ἀπεμυθεόμην ἵν' ᾖ ἀπελογιζόμην. μεγαλήτορι.] γενναίῳ. θυμῷ εἴξας.] νικηθεὶς ὑπὸ τῆς ὀργῆς.

Φραζώμεσθ' ὥς κέν μιν ἀρεσσάμενοι πεπίθωμεν
Δώροισίν τ' ἀγανοῖσιν, ἔπεσσί τε μειλιχίοισιν.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Ὦ γέρον, οὔτι ψεῦδος ἐμὰς ἄτας κατέλεξας.
Ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι, ἀντί νυ πολλῶν
Λαῶν ἐστὶν ἀνὴρ, ὅν τε Ζεὺς κῆρι φιλήσει.
Ὡς νῦν τοῦτον ἔτισε, δάμασσε δὲ λαὸν Ἀχαιῶν.
Ἀλλ' ἐπεὶ ἀασάμην, φρεσὶ λευγαλέῃσι πιθήσας,
Ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα,
Ἡμῖν δ' ἐν πάντεσσι περικλυτὰ δῶρ' ὀνομήνω,
Ἑπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους
Πηγοὺς, ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο,
Οὔ κεν ἀλήϊος εἴη ἀνὴρ, ᾧ τόσσα γένοιτο,
Οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
Ὅσσα μοι ἠνείκαντο ἀέθλια μώνυχες ἵπποι.
Δώσω δ' ἑπτὰ γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας,
Λεσβίδας, ἃς ὅτε Λέσβον ἐϋκτιμένην ἕλεν αὐτὸς,
Ἐξελόμην, αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν,
Τὰς μέν οἱ δώσω, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπηύρων
Κούρην Βρισῆος· καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι,
Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι, ἠδὲ μιγῆναι,
Ἣ θέμις ἀνθρώπων πέλει ἀνδρῶν ἠδὲ γυναικῶν.
Ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
Ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι,
Νῆα ἅλις χαλκοῦ, καὶ χρυσοῦ νηησάσθω
Εἰσελθὼν, ὅτε κεν δατεώμεθα ληΐδ' Ἀχαιοί.
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθω,
Αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσιν,
Εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαιϊκὸν οὖθαρ ἀρούρης,
Γαμβρός κέν μοι ἔοι, τίσω δέ μιν ἶσον Ὀρέστῃ,
Ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ.
Τρεῖς δέ μοι εἰσὶ θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυσόθεμις, καὶ Λαοδίκη, καὶ Ἰφιάνασσα,
Τάων ἥν κ' ἐθέλῃσι φίλην ἀνάεδνον ἀγέσθω
Πρὸς οἶκον Πηλῆος· ἐγὼ δ' ἐπὶ μείλια δώσω

Πολλὰ

ἀρεσσάμενοι.] φιλοφρονησάμενοι. οὔτι ψεῦδος ἐμὰς ἄτας κατέλεξας.] οὐδὲ ψευσάμενος τὰς ἐμὰς ἄτας εἶπας. ἀασάμην.] ἐβλάβην. ἀναίνομαι.] ἀρνοῦμαι. ἀντί νυ πολλῶν.] ἀντάξιος πολλῶν ἐστὶν ὁ ὑπὸ Διὸς φιλούμενος ἀνήρ. λευγαλέῃσι.] δειναῖς, ὀλεθρίαις. ἀρέσαι.] εἰς ἀρέσκειαν ἐλθεῖν φιλοφρόνως. ἀπύρους.] τοὺς μὴ εἰς πῦρ χρησίμους· ἀλλ' ἀναθηματικοὺς, καινουργεῖς· τοὺς κόσμου χάριν τιθεμένους ἐν τῷ οἴκῳ. τάλαντα.] τάλαντον τοὺς ἑξακισχιλίους νῦν παρ' Ἀθηναίοις στατῆρας. διαφόρως δὲ νοεῖται. ἦν γὰρ καὶ βραχύ τι παρὰ τοῖς ἀρχαίοις. καὶ ὁ ποιητὴς δὲ τοῦτο δῆλον ἡμῖν ποιεῖ ἐν τῷ ἐπιταφίῳ τοῦ Πατρόκλου λέγων· ἱππεῦσιν μὲν πρῶτα ποδώκεσιν ἀγλαὰ ἄεθλα θῆκε γυναῖκα ἄγεσθαι ἀμύμονα ἔργ' εἰδυῖαν. Καὶ τρίποδ' ὠτώεντα δύω καὶ εἴκοσι μέτρον τῷ πρώτῳ· αὐτὰρ αὖ τῷ δευτέρῳ ἵππον ἔθηκεν Ἑξέτε' ἀδμήτην, βρέφος ἡμίονον κυέουσαν. Αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα, Καλὸν τέσσαρα μέτρα κεχανδότα λευκὸν ἔτ' αὔτως. τῷ δὲ τετάρτῳ θῆκε δύο χρυσοῖο τάλαντα. εἰ γὰρ πρὸ τοῦ ταλάντου τῶν Ἑλλήνων, βραχύ τι τὸ τάλαντον τοῦ χρυσίου ἐστὶ παρ' αὐτοῖς, ὡς καὶ Δίφιλος ἐν ἀργύρῳ βραχύ τι τὸ τάλαντόν φησι. τάλαντον δὲ οὐ τάλαντα. ταῦτα δὲ ἐστὶ χρυσίου τάλαντον. αἴθωνας.] τοὺς πρὸς πῦρ ἐπιτηδείους· τοὺς καλουμένους ἐμπυριβήτας, παρὰ τὸ αἴθεσθαι. πηγούς.] εὐτραφεῖς, εὐπαγεῖς· ἀφ' οὗ γενναίους. ἀθλοφόρους.] γενναίους. ἀέθλια.] ἔπαθλα, θέματα. ἄροντο.] ἀπηνέγκαντο, ἐκτήσαντο. οὔ κεν.] οὐκ ἄν. ἀλήϊος.] ὁ ἄνευ λείας· ἐλλιπὴς βοσκημάτων. λεία γὰρ κυρίως ἡ τῶν τετραπόδων κτῆσις. ἀκτήμων.] ἀνενδεής. ἐριτίμοιο.] μεγαλοτίμου, ἐνδόξου. ἠνείκαντο.] περιεποιήσαντο. ἀμύμονας.] ἀμωμήτους, εὐειδεῖς. ἐξελόμην.] ὡς ἐξαίρετον, ἔλαβον. Λεσβίδας αἳ κάλλει ἐνίκων.] παρὰ Λεσβίοις ἀγὼν ἄγεται κάλλους γυναικῶν ἐν τῷ τῆς Ἥρας τεμένει, λεγόμενος Καλλιστεῖα. ἡ δὲ Λέσβος νῆσός ἐστιν ἐν τῷ Αἰγαίῳ πελάγει, πόλεις ἔχουσα πέντε, Ἄντισσαν, Ἐρεσσὸν, Μήθυμναν, Πύρραν, Μιτυλήνην. μετὰ δ' ἔσσεται.] ἐν αὐτοῖς δὲ ἔσται καὶ ἡ Βρισηΐς. μήποτε τῆς εὐνῆς.] ὀμόσω φησὶ τὸ μηδέποτε αὐτῇ συγκεκοιμῆσθαι ὅ ἐστι μεμῖχθαι. ἣ θέμις.] ὡς θέμις. πέλει.] γίγνεται. παρέσσεται.] παρέσεσθαι, δοθήσεται. ἅλις.] δαψιλῶς, ἱκανῶς. νηησάσθω.] πληρωσάτω, σωρευσάτω. δατεώμεθα.] μεριζώμεθα. ληΐδα.] τὴν λείαν, τὰ λάφυρα. οὖθαρ ἀρούρης.] τὸ γονιμώτατον καὶ κάλλιστον τῆς γῆς καὶ κάρπιμον. τηλύγετος.] ἀγαπητὸς, μονογενής· μόνος γὰρ Ὀρέστης ἄρσην ἐγένετο τῷ Ἀγαμέμνονι ἐκ Κλυταιμνήστρας. θαλίῃ ἐνὶ πολλῇ.] ἐν πολλῇ εὐωχίᾳ, ἐν πολλοῖς ἀγαθοῖς· εἴρηται δὲ παρὰ τὸ θάλλειν τοὺς εὐωχουμένους. εὐπήκτῳ.] καλῶς κατεσκευασμένῳ.

Λαοδίκη.] μία τῶν Ἀγαμέμνονος θυγατρῶν. ἣν οἱ τραγικοὶ Ἠλέκτραν εἶπον. ὡς καὶ τὴν Ἰφιάνασσαν, Ἰφιγένειάν φησιν ὁ Εὐριπίδης. ἀνάεδνον.] ἄνευ ἕδνων. ἕδνα δέ εἰσι τὰ πρὸ τοῦ γάμου ὑπὸ τοῦ νυμφίου διδόμενα δῶρα τῇ νύμφῃ. ἐπὶ μείλια δώσω.] τὸ ἑξῆς ἐπιδώσω μείλια. μείλια δέ εἰσιν οἷς μειλίσσονται τοὺς ἄνδρας· τὴν προῖκα δὲ λέγει τὴν ἰδίαν

Πολλὰ μάλ', ὅσσ' οὔπω τις ἑῇ ἐπέδωκε θυγατρί.
Ἑπτὰ δέ οἱ δώσω εὐναιόμενα πτολίεθρα,
Καρδαμύλην, Ἐνόπην τε, καὶ Ἱρὴν ποιήεσσαν,
Φηράς τε ζαθέας, ἠδ' Ἄνθειαν βαθύλειμον,
Καλήν τ' Αἴπειαν, καὶ Πήδασον ἀμπελόεσσαν,
Πᾶσαι δ' ἐγγὺς ἁλὸς νέαται Πύλου ἠμαθόεντος.
Ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
Οἵ κέ ἑ δωτίνῃσι θεὸν ὣς τιμήσουσι,
Καί οἱ ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας.
Ταῦτά κέ οἱ τελέσαιμι μεταλλήξαντι χόλοιο.
Δμηθήτω. Ἀΐδης τοι ἀμείλιχος, ἠδ' ἀδάμαστος,
Τοὔνεκα καί τε βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων,
Καί μοι ὑποστήτω, ὅσσον βασιλεύτερός εἰμι,
Ἠδ' ὅσσον γενεῇ προγενέστερος εὔχομαι εἶναι.
Τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ,
Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Δῶρα μὲν οὐκ ἔτ' ὀνοστὰ διδοῖς Ἀχιλῆϊ ἄνακτι,
Ἀλλ' ἄγετε κλητοὺς ὀτρύνομεν, οἵ κε τάχιστα
Ἔλθωσ' ἐς κλισίην Πηληϊάδεω Ἀχιλῆος.
Εἰ δ' ἄγε τοὺς ἂν ἐγὼ ἐπιόψομαι, οἱ δὲ πιθέσθων,
Φοῖνιξ μὲν πρώτιστα Διῒ φίλος ἡγησάσθω,
Αὐτὰρ ἔπειτ' Αἴας τε μέγας, καὶ δῖος Ὀδυσσεύς.
Κηρύκων δ' Ὀδίος τε, καὶ Εὐρυβάτης ἅμ' ἑπέσθων,
Φέρτε δὲ χερσὶν ὕδωρ, εὐφημῆσαί τε κέλεσθε,
Ὄφρα Διῒ Κρονίδῃ ἀρησόμεθ', αἴ κ' ἐλεήσῃ.
Ὣς φάτο, τοῖσι δὲ πᾶσιν ἑαδότα μῦθον ἔειπεν,
Αὐτίκα κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν,
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ' ὅσον ἤθελε θυμός,
Ὡρμῶντ' ἐκ κλισίης Ἀγαμέμνονος Ἀτρείδαο,
Τοῖσι δὲ πόλλ' ἐπέτελλε γερήνιος ἱππότα Νέστωρ,
Δενδίλλων ἐς ἕκαστον, Ὀδυσσῆϊ δὲ μάλιστα
Πειρᾶν ὡς πεπίθοιεν ἀμύμονα Πηλείωνα.
Τὼ δὲ βάτην παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης.
Πολλὰ μάλ' εὐχομένω γαιηόχῳ Ἐννοσιγαίῳ,
Ῥηϊδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο,
Μυρμιδόνων δ' ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην.
Τὸν δ' εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ,
Καλῇ, δαιδαλέῃ, ἐπὶ δ' ἀργύρεος ζυγὸς ἦεν,
Τὴν ἄρετ' ἐξ ἐνάρων, πόλιν Ἠετίωνος ὀλέσσας,

τὴν ἡδέως διατιθεμένην τὰ κατὰ τὴν ψυχήν. ποιήεσσαν.] βοτανώδη. ζαθέας.] μεγάλας, θείας. βαθύλειμον.] βαθεῖς λειμῶνας ἐχούσας. νέαται.] ἤτοι ἔσχαται, ἢ κατῳκισμέναι εἰσίν. ἠμαθόεντος.] ἀμμώδους. πολύρρηνες.] πολυθρέμματοι, πλούσιοι, ῥῆνες γὰρ οἱ ἄρνες. πολυβοῦται.] πολλὰς βοῦς ἔχοντες. δωτίνῃσι.] δωρεαῖς. λιπαρὰς τελέουσι θέμιστας.] ὅσα δεῖ βασιλέα λαμβάνειν παρὰ τῶν ὑπηκόων, σύνολως δώσουσι. τοῦτ' ἔστι καὶ ὑποταγέντες αὐτῷ κατὰ τὸ δίκαιον. λαμπροὺς τελέσουσι φόρους. λιπαράς.] πλουσίας. ταῦτά κέ οἱ.] ταῦτα ἂν αὐτῷ. μεταλλήξαντι.] λήξαντι, παυσαμένῳ. χόλοιο.] τῆς ὀργῆς. δμηθήτω.] δαμασθήτω τοῦτ' ἔστι πρᾶος καὶ ἐπιεικὴς γενέσθω. ἀμείλιχος.] ἀμείλικτος, ἀσυμπαθὴς καὶ ἀπηνής. ἀδάμαστος.] ὑποταγῆναι μὴ δυνάμενος. ὑποστήτω.] παραχωρησάτω, ὑπειξάτω. βασιλεύτερος.] βασιλικώτερος. οὐκ ἔτ' ὀνοστά.] οὐ μεμπτά. κλητούς.] ἐξ ὀνόματος κεκλημένους, ἐπιλέκτους. ἐπιόψομαι.] ἐπικρινῶ, ἐπιλέξω. πιθέσθων.] πειθέσθωσαν. ζήτηται δὲ πῶς μᾶλλον ὁ Νέστωρ οὐ πρεσβεύει ὡς συνετώτερος. ἔστι δὲ λέγειν ὅτι κατ' οἰκονομίαν ὑπελείφθη. ἵν' ἂν ἀποτύχωσιν οἱ περὶ Ὀδυσσέα, αὐτὸς ὕστερον πείσῃ. ἄτοπον γὰρ τὴν νῦν πρεσβεύειν τὸν Νέστορα, ὅτε ἔδει πάντως τὸν Ἀχιλλέα μὴ πεισθῆναι. ἀδοξία δὲ τὴν Νέστορα μὴ δυνηθῆναι πεῖσαι. οἱ δέ φασιν, ὅτι ἐπειδὴ ἐχθρὸς τὴν Ἀχιλλέως λοιδορήσας αὐτὸν πρὸς Ἀγαμέμνονα, τοὺς δὲ δεῖ ἕνα φθινύθειν ἕνα καὶ δύο. Φοῖνιξ μὲν πρώτιστα Διῒ φίλος ἡγησάσθω.] ἀπελθέτω. διὰ τὸ τροφέα αὐτοῦ εἶναι Ἀχιλλέως. φέρτε.] φέρετε. κέλεσθε.] κελεύσατε. ἑαδότα.] ἀρέσκοντα. ἐπαρξάμενοι.] ἐπιχέαντες. δενδίλλων.] τοῖς ὄμμασι διανεύων, ἢ περιβλέπων. ἀπὸ τοῦ δινεῖν τοὺς ὀφθαλμούς. πειρᾶν.] πειράζειν ὡς πείσειεν Ἀχιλλέα. πεπίθοιεν.] πείσειεν δυνηθεῖεν. τὼ δὲ βάτην παρὰ θῖνα.] ζητοῦμεν εἰ καὶ Φοῖνιξ ἐστὶ πρεσβευτής. καὶ οἱ μέν φασι δύο πρεσβεύειν, Αἴαντα καὶ Ὀδυσσέα. Φοίνικος προεληλυθότος, οὐκ εἰς τὸ πρεσβεύειν ἀλλ' εἰς τὸ συλλαβέσθαι. καὶ διὰ τοῦτο ὁ Ποιητὴς δυϊκῶς κέχρηται, τὸ χαίρετον ὦ φίλω. ἔνιοι δὲ λέγουσι συμπρεσβευκέναι καὶ Φοίνικα. καὶ οὐ δὲ εἶναι τεκμήριον τοῦ παρὰ τῷ Ποιητῇ ἀριθμόν. πολλάκις δὲ καὶ ἐπὶ πλειόνων αὐτὸν τετάχθαι. ὡς καὶ ἐνθάδε τοῦ μὴ νύ τοι οὐ χραισμῶσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ ἆσσον ἰόντε, καὶ ὡς ἐνθάδε, τὼ κούρω κριθέντε δύο καὶ πεντήκοντα.

γαιηόχῳ.] τῷ τὴν γῆν ὀχοῦντι, ὅ ἐστι βαστάζοντι. ἐνθάδε θαλάσσης γὰρ βέβηκεν ὁ γῆ. φόρμιγγι.] κιθάρᾳ. λιγείῃ.] εὐήχῳ. ζυγός.] ὁ πῆχυς τῆς κιθάρας ᾧ ἔγκεινται οἱ κόλλαβοι. οὕτω δὲ λέγονται οἱ πάσσαλοι, ὧν ἐξάπτονται αἱ χορδαί. παρὰ τὸ κεκολλῆσθαι.

τὸ κεκολλῆσθαι. τὴν χεῖρ' ἐπὶ δὲ ζυγὸν.] πιθανῶς ἐκ λαφύρων κεκτῆσθαι ἔφη τὴν κιθάραν. εὐζόνται ἢν φησι παρελθεῖν ὡς ἄμισον ἀπρεπὲς ἦν. κλέα.] δόξας. παρὰ τὸ κλέω, ἀοιδῆσι κλέουσι. ἧστο.] ἐκαθέζετο. δέγμενος.] ἐκδεχόμενος. Αἰακίδην.] τὸν Ἀχιλλέα, πατρωνυμικῶς. λήξειεν.] παύσοιτο. προτέρω.] προσωτέρω, ἐνδοτέρω. ταφών.] ἐκπλαγεὶς, θαυμάσας. ἡ μεταφορὰ ἐκ τοῦ τάφου. καὶ γὰρ ἡμᾶς ὁρῶντες ἐκπληττόμεθα τὸ μέλλον δεινόν. ἀνόρουσεν.] ἀνώρμησεν, ἀνέστη. αὐτῇ σὺν φόρμιγγι λιπὼν ἕδος.] καθέδραν. στικτέον δὲ μετὰ τὸ φόρμιγγι. ὡς ἔκπληξιν τοῦ Ἀχιλλέως ὁρᾶσθαι ἀναπεπηδηκότος σὺν τῇ κιθάρᾳ. αὐτῇ σὺν φόρμιγγι. τὸ ἡμιστίχιον δύναται καὶ τοῖς ἄνω καὶ τοῖς ἑξῆς ἀποδίδοσθαι. τότε ἀναπηδήσας σὺν αὐτῇ τῇ κιθάρᾳ, καὶ ἀπολιπόντα τὴν κιθάραν καὶ τὴν καθέδραν συναντῆσαι. βέλτιον δὲ τὸ πρότερον ὥστε τοῖς ἄνω συνάπτειν. θάασσεν.] ἐκαθέζετο. ὡς αὔτως.] παραπλησίως δὲ, ὁμοίως. δεικνύμενος.] δεξιούμενος, φιλοφρονούμενος. ἦ φίλοι.] φίλοι δή. Ἀττικοὶ ἐν προφωνήσει τιθέασι τὸν σύνδεσμον. ἱκάνετον.] παραγίνεσθε. σκυζομένῳ.] ὀργιζομένῳ. κλισμοῖσι.] καθέδραις ἀνακλίσεις ἐχούσαις. τάπησι.] μαλλωτοῖς ὑφάσμασι. καθίστα.] εὐτρέπιζε, ἑτοίμαζε. ζωρότερον.] ζωτικώτερον, παρὰ τὴν ζέσιν. κέραιε.] κίρνα. δέπας.] ποτήριον. ἔντυνον.] παρασκεύασον, εὐτρέπισον. ὑπέασιν.] ὑπεληλύθασιν, ἔνδον εἰσί. μελάθρῳ.] τῷ οἴκῳ. ἀπὸ τοῦ μελαίνεσθαι ὑπὸ τοῦ καπνοῦ. κρεῖον.] κρεωδόχον ἀγγεῖον. κάββαλε.] κατέβαλε, κατέθηκεν. ἐν πυρὸς αὐγῇ.] περιφραστικῶς ἐν τῷ πυρί. νῶτον.] ψόαν, νωτιαῖον κρέας. πίονος.] λιπαροῦ, ἢ τελείου. συός.] χοίρου. σιάλοιο.] εὐτραφοῦς, λιπαροῦ. ῥάχιν.] νῶτον, ψόαν. ἐπεὶ κατὰ τοῦτο τὸ μέρος ῥαχίζονται. τεθαλυῖαν.] θάλλουσαν, ἀκμάζουσαν. ἀλοιφῇ.] τῷ λίπει. ἔχεν.] ἐκράτει. φώς.] ἀνήρ. στορέσας] καταστρώσας. ἐφύπερθε τάνυσσεν.] ὑπερήπλωσε. πάσσε δ' ἁλὸς θείοιο.] ἔπασσε δὲ τὰ κρέα ἁλσί. θείους δὲ κέκληκε τοὺς ἅλας, διὰ ἄσηπτα τηρεῖν τὰ πασθέντα. κρατευτάων.] τῶν βάσεων. ὅ ἐστι τῶν λίθων. ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται ὀπτωμένων τῶν κρεῶν. οἱ δὲ τῶν λαβῶν τῶν ὀβελίσκων εἶπον κακῶς. ἐπαείρας.] ἐπάρας, σηκώσας. ἐν ἐλεοῖσιν.] ἐπὶ τῶν μαγειρικῶν τραπεζίων. δασυντέον, ἀπὸ τοῦ ἑλεῖν. ἢ ὅτι ἐξ ἐλαίων ῥάβδων ἦσαν πεπλεγμέναι αἱ μαγειρικαὶ τράπεζαι.

Τῇ ὅ γε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν,
Πάτροκλος δέ οἱ οἶος ἐναντίος ἧστο σιωπῇ,
Δέγμενος Αἰακίδην ὁπότε λήξειεν ἀείδων.
Τὼ δὲ βάτην προτέρω, ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς.
Στὰν δὲ πρόσθ' αὐτοῖο. ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς
Αὐτῇ σὺν φόρμιγγι, λιπὼν ἕδος, ἔνθα θάασσεν.
Ὣς δ' αὔτως Πάτροκλος, ἐπεὶ ἴδε φῶτας, ἀνέστη.
Τὼ καὶ δεικνύμενος, προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Χαίρετον, ἦ φίλοι ἄνδρες ἱκάνετον, ἦ τι μάλα χρεώ,
Οἵ μοι σκυζομένῳ περ, Ἀχαιῶν φίλτατοί ἐστον.
Ὣς ἄρα φωνήσας, προτέρω ἄγε δῖος Ἀχιλλεύς,
Εἷσεν δ' ἐν κλισμοῖσι, τάπησί τε πορφυρέοισιν.
Αἶψα δὲ Πάτροκλον προσεφώνεεν ἐγγὺς ἐόντα.
Μείζονα δὴ κρητῆρα Μενοιτίου υἱὲ καθίστα,
Ζωρότερον δὲ κέραιε, δέπας δ' ἔντυνον ἑκάστῳ.
Οἳ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ.
Ὣς φάτο. Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ.
Αὐτὰρ ὅ γε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ.
Ἐν δ' ἄρα νῶτον ἔθηκ' ὄϊος, καὶ πίονος αἰγός,
Ἐν δὲ συὸς σιάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ.
Τῷ δ' ἔχεν Αὐτομέδων. τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς.
Καὶ τὰ μὲν εὖ μίστυλλε, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρε,
Πῦρ δὲ Μενοιτιάδης δαῖεν μέγα ἰσόθεος φώς.
Αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη, καὶ φλὸξ ἐμαράνθη,
Ἀνθρακιὴν στορέσας, ὀβελοὺς ἐφύπερθε τάνυσσε.
Πάσσε δ' ἁλὸς θείοιο κρατευτάων ἐπαείρας.
Αὐτὰρ ἐπεί ῥ' ὤπτησε, καὶ εἰν ἐλεοῖσιν ἔχευεν,
Πάτροκλος μὲν σῖτον ἑλὼν, ἐπένειμε τραπέζῃ
Καλοῖς ἐν κανέοισιν. ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
Αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο,
Τοίχου τοῦ ἑτέροιο. θεοῖσι δὲ θῦσαι ἀνώγει,
Πάτροκλον ὃν ἑταῖρον, ὃ δ' ἐν πυρὶ βάλλε θυηλάς.
Οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος, καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Νεῦσ' Αἴας Φοίνικι, νόησε δὲ θεῖος Ὀδυσσεύς.

Πλησάμενος

ἔχευεν.] ἀπὸ τῶν ὀβελίσκων εἵλκυσεν. ἐπένειμεν.] ἐπεμέρισεν, ἐπέθηκε. κανέοισι.] πλεκτοῖς, κανισκίοις. νεῖμεν.] ἐπένειμεν, ἐπέδωκε. θῦσαι.] θυμιᾶσαι, ἀπάρξασθαι. θυηλάς.] τὰς ἀπαρχάς. νεῦσ' Αἴας.] διενεύσατο φησὶν ὁ Αἴας τῷ Φοίνικι, ὡς καιρός ἐστι τῶν πρὸς Ἀχιλλέα λόγων. νόησε δ' Ὀδυσσεύς.] ζητεῖται δὲ διατί προαρπάζει τὸν λόγον ὁ Ὀδυσσεύς. ῥητέον δὲ ὅτι καὶ μάλα εἰκότως. οὐδεμία γὰρ ἦν ἐλπὶς πρεσβευσάντων τῶν οἰκείων αὐτοῦ. ἐβούλετο δὲ προεκκινήσας τὴν ὀργὴν ἀναγκάσαι τοῖς οἰκείοις πεισθῆναι τὸν Ἀχιλλέα.

πλησάμενος.]

Πλησάμενος δ' οἴνοιο δέπας, δείδεκτ' Ἀχιλῆα·
Χαῖρ' Ἀχιλεῦ, δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευεῖς
Ἠμὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος Ἀτρείδαο,
Ἠδὲ καὶ ἐνθάδε νῦν· πάρα γὰρ μενοεικέα πολλὰ
Δαίνυσθ'· ἀλλ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν,
Ἀλλὰ λίην μέγα πῆμα διοτρεφὲς εἰσορόωντες,
Δείδιμεν· ἐν δοιῇ δὲ σαωσέμεν, ἢ ἀπολέσθαι
Νῆας ἐϋσσέλμους, εἰ μὴ σύγε δύσεαι ἀλκήν.
Ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο
Τρῶες ὑπέρθυμοι, τηλεκλητοί τ' ἐπίκουροι,
Κηάμενοι πυρὰ πολλὰ κατὰ στρατόν· οὐδ' ἔτι φασὶν
Σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσι πεσέεσθαι.
Ζεὺς δέ σφιν Κρονίδης ἐνδέξια σήματα φαίνων
Ἀστράπτει. Ἕκτωρ δὲ μέγα σθένεϊ βλεμεαίνων,
Μαίνεται ἐκπάγλως πίσυνος Διΐ· οὐδέ τι τίει
Ἀνέρας, οὐδὲ θεούς· κρατερὴ δέ ἑ λύσσα δέδυκεν.
Ἀρᾶται δὲ τάχιστα φανήμεναι ἠῶ δῖαν·
Στεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα,
Αὐτάς τ' ἐμπρήσειν μαλεροῦ πυρός· αὐτὰρ Ἀχαιοὺς
Δηώσειν παρὰ τῇσιν ὀρινομένους ὑπὸ καπνοῦ.
Ταῦτ' αἰνῶς δείδοικα κατὰ φρένα, μή οἱ ἀπειλὰς
Ἐκτελέσωσι θεοί, ἡμῖν δὲ δὴ αἴσιμον εἴη
Φθίσθαι ἐνὶ Τροίῃ, ἑκὰς Ἄργεος ἱπποβότοιο.
Ἀλλ' ἄνα, εἰ μέμονάς γε, καὶ ὀψέ περ υἷας Ἀχαιῶν
Τειρομένους ἐρύεσθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ.
Αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται, οὐδέ τι μῆχος
Ῥεχθέντος κακοῦ ἔστ' ἄκος εὑρεῖν· ἀλλὰ πολὺ πρὶν
Φράζευ, ὅπως Δαναοῖσιν ἀλεξήσεις κακὸν ἦμαρ.
Ὦ πέπον, ἦ μὲν σοί γε πατὴρ ἐπετέλλετο Πηλεὺς
Ἤματι τῷ, ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπε.
Τέκνον ἐμόν, κάρτος γὰρ Ἀθηναίη τε καὶ Ἥρη
Δώσουσ', αἴκ' ἐθέλωσι, σὺ δὲ μεγαλήτορα θυμὸν
Ἴσχειν ἐν στήθεσσι, φιλοφροσύνη γὰρ ἀμείνων,
Ληγέμεναι δ' ἔριδος κακομηχάνου, ὄφρα σε μᾶλλον
Τίωσ' Ἀργείων ἠμὲν νέοι, ἠδὲ γέροντες.
Ὣς ἐπέτελλ' ὁ γέρων, σὺ δὲ λήθεαι. ἀλλ' ἔτι καὶ νῦν
Παύε', ἔα δὲ χόλον θυμαλγέα, σοὶ δ' Ἀγαμέμνων
Ἄξια δῶρα δίδωσι μεταλλήξαντι χόλοιο.
Εἰ δὲ σὺ μέν μευ ἄκουσον, ἐγὼ δέ κέ τοι καταλέξω,
Ὅσσα τοι ἐν κλισίῃσιν ὑπέσχετο δῶρ' Ἀγαμέμνων·
Ἕπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,

Αἴθωνας

πλησάμενος.] πληρώσας, γεμίσας. δείδεκτο.] ἐδεξιοῦτο. ἐΐσης.] τῆς ἰσομοίρου. οὐκ ἐπιδευεῖς.] οὐκ ἐνδεὴς εἶ. ἠμὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος.] διατί τὸν ἐχθρὸν οὕτως ὠνόμασε προπετῶς οὐ προθεραπεύσας; ῥητέον οὖν ὅτι ἔτι ἐνδεικνύμενος Ἀχιλλεῖ, ὅτι πρότερον ὑβρίσας ἱκέτης καθέστηκεν. ἢ πάνυ ῥητορικὸς αὐτὴν εἰς φιλίαν ἀμφοτέρους ἄγει. καὶ τῇ τραπέζῃ δυσωπῶν καὶ μόνον οὐ τοῦτο λέγων· ὡς ὁμόσιτος αὐτῷ δι' ἡμῶν γεγένησαι. καὶ γὰρ ἐκείνου καὶ σοῦ μετεσχήκαμεν τραπέζης. πάρα γάρ.] πάρεστι γάρ. μενοεικέα.] τῷ μένει εἴκοντα, αὐτάρκη. ἐπηράτου.] ἐπεράστου, καλῆς, ἡδείας. ἐν δοιῇ.] ἐν δισταγμῷ, ἐν διχοστασίᾳ. δύσεαι ἀλκήν.] ἀναλάβῃς τὴν δύναμίν σου καὶ κατέλθῃς εἰς τὸν πόλεμον βοηθήσων. αὖλιν ἔθεντο.] τὸν αὐλισμὸν ἐποιήσαντο, ἐστρατοπέδευσαν. κηάμενοι.] καύσαντες. σχήσεσθαι.] ἀνθέξειν, ἀντιστῆναι. πεσέεσθαι.] ἐμπεσεῖν. ἐνδέξια.] ἀγαθά. φαίνων.] φανεροποιῶν, δεικνύς. βλεμεαίνων.] διὰ τοῦ βλέμματος αὐτοῦ προθυμίαν ἐπιδεικνύμενος. πίσυνος Διΐ.] πεποιθὼς τῷ Διΐ, θαρρῶν. οὐδέ τι τίει.] οὐ τιμᾷ, λόγον οὐ ποιεῖται. λύσσα.] μανία. δέδυκεν.] ὑπεισῆλθεν, ἔχει. ἀρᾶται.] εὔχεται. στεῦται.] διαβεβαιοῦται, ὑπισχνεῖται. ἄκρα κόρυμβα.] τὰ τῶν νεῶν ἀκροστόλια. διατί δέ φησι πρῶτον ἀποκόπτειν εἶθ' οὕτως τὸ πῦρ ἐμβάλλειν· ἐπειδὴ ἐπὶ τῶν ἀκροστολίων ἦσαν ἀγάλματα καὶ εἰκόνες τῶν θεῶν. ἐκκλίνων οὖν τὴν τῶν θεῶν ὀργὴν τοῦτο ποιεῖ. ἐμπρήσειν.] καύσειν. μαλεροῦ.] μαραντικοῦ, φθαρτικοῦ. δηώσειν.] ἀνελεῖν, φονεύσειν. ἀτυζομένους.] ἐκπεπληγμένους, τεταραγμένους. αἴσιμον.] πεπρωμένον, εἱμαρμένον. φθίσθαι.] διαφθαρῆναι. ἀλλ' ἄνα.] ἀλλὰ ἀνάστηθι, ἀποκοπὴ ὁ τρόπος. εἰ μέμονας.] εἰ προθυμῇ. ἐρύεσθαι.] ῥύεσθαι, σώζειν. μῆχος.] μηχάνημα, τέχνασμα. ἄκος.] ἴαμα. οὐδέ τι μῆχος ῥεχθέντος γε κακοῦ ἔστ' ἄκος εὑρεῖν.] ἀμήχανον δὲ λοιπὸν μετὰ τὸ πραχθῆναι τὸ κακὸν θεραπείαν εὑρεῖν αὐτοῦ. ἀλεξήσεις.] βοηθήσεις. τέκνον ἐμόν.] προσληπτέον, τάδε λέγων. κάρτος.] δύναμιν. ἴσχειν.] ἐπέχειν, παύειν. φιλοφροσύνη.] φιλοφρόνησις, φιλία. ληγέμεναι.] λήγειν, παύεσθαι. κακομηχάνου.] κακὰ ἐργαζομένης. θυμαλγέα.] τὸν τὴν ψυχὴν λυποῦντα, χαλεπόν. μεταλλήξαντι χόλοιο.] παυσαμένῳ τῆς ὀργῆς. καταλέξω.] καταριθμήσω.



ὑπέσχετο.]

Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους
Πηγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
Οὔ κεν ἀλήϊος εἴη ἀνὴρ ᾧ τόσα γένοιτο,
Οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
Ὅσσ' Ἀγαμέμνονος ἵπποι ἀέθλια ποσσὶν ἄροντο.
Δώσει δ' ἑπτὰ γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας,
Λεσβίδας, ἃς ὅτε Λέσβον ἐϋκτιμένην ἕλες αὐτὸς,
Ἐξέλεθ', αἳ τότε κάλλει ἐνίκων φῦλα γυναικῶν.
Τὰς μέν τοι δώσει, μετὰ δ' ἔσσεται, ἣν τότ' ἀπηύρα
Κούρην Βρισῆος, καὶ ἐπὶ μέγαν ὅρκον ὀμεῖται
Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι, ἠδὲ μιγῆναι,
Ἣ θέμις ἐστὶν ἄναξ, ἤτ' ἀνδρῶν, ἤτε γυναικῶν.
Ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται. εἰ δέ κεν αὖτε
Ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι,
Νῆας ἅλις χρυσοῦ, καὶ χαλκοῦ νηήσασθαι
Εἰσελθὼν, ὅτε κεν δατεώμεθα ληΐδ' Ἀχαιοί.
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθω,
Αἵ κε μετ' Ἀργείην Ἑλένην, κάλλισται ἔωσιν.
Εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαιϊκὸν οὖθαρ ἀρούρης,
Γαμβρός κέν οἱ ἔοις, τίσει δέ σε ἶσον Ὀρέστῃ,
Ὅς οἱ τηλύγετος τρέφεται θαλίῃ ἐνὶ πολλῇ.
Τρεῖς δέ οἱ εἰσὶ θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυσόθεμις, καὶ Λαοδίκη, καὶ Ἰφιάνασσα.
Τάων, ἥν κ' ἐθέλῃσθα φίλην ἀνάεδνον ἄγεσθαι
Πρὸς οἶκον Πηλῆος. ὁ δ' αὖτ' ἐπὶ μείλια δώσει
Πολλὰ μάλ', ὅσσ' οὔπω τις ἑῇ ἐπέδωκε θυγατρί.
Ἑπτὰ δέ τοι δώσει εὐναιόμενα πτολίεθρα,
Καρδαμύλην, Ἐνόπην τε, καὶ Ἱρὴν ποιήεσσαν,
Φηράς τε ζαθέας, ἠδ' Ἄνθειαν βαθύλειμον,
Καλήν τ' Αἴπειαν, καὶ Πήδασον ἀμπελόεσσαν.
Πᾶσαι δ' ἐγγὺς ἁλὸς νέαται Πύλου ἠμαθόεντος,
Ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες, πολυβοῦται,
Οἵ κέ σε δωτίνῃσι θεὸν ὣς τιμήσουσιν,
Καί τοι ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας.
Ταῦτά κέ τοι τελέσειε μεταλλήξαντι χόλοιο.
Εἰ δέ τοι Ἀτρεΐδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον
Αὐτὸς, καὶ τοῦ δῶρα, σὺ δ' ἄλλους περ Παναχαιοὺς
Τειρομένους ἐλέαιρε κατὰ στρατὸν, οἵ σε θεὸν ὣς,
Τίσουσ', ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἄροιο.
Νῦν γάρ χ' Ἕκτορ' ἕλοις, ἐπεὶ ἂν μάλα τοι σχεδὸν ἔλθοι
Λύσσαν ἔχων ὀλοὴν, ἐπεὶ οὔ τινά φησιν ὁμοῖον
Οἷ ἔμεναι Δαναῶν, οὓς ἐνθάδε νῆες ἔνεικαν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς,
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν.
Ἧπερ δὴ φρονέω τε, καὶ ὡς τετελεσμένον ἔσται,

Ὡς μή μοι

ἀπήχθετο.] ἐμισήθη. κηρόθι.] ἐκ ψυχῆς. Παναχαιούς.] πάντας τοὺς Ἕλληνας. ἀπηλεγέως.] ἀποτόμως, σκληρῶς, ἢ ἀπαγορευτικῶς, κεκριμένως. ἀποειπεῖν.] ἀπαρνήσασθαι. ἧπερ.] ὡς, καθάπερ. ἧπερ δὴ φρονέω τε.] γράφεται καὶ κρανέω, ἵν' ᾖ τελειώσω. τρύζητε.]

Ὥς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
Ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.
Αὐτὰρ ἐγὼ ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
Οὔτε μ' ἔγ' Ἀτρείδην Ἀγαμέμνονα πεισέμεν οἴω.
Οὔτ' ἄλλους Δαναοὺς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν,
Μάρνασθαι δηΐοισι μετ' ἀνδράσι νωλεμὲς αἰεί,
Ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι.
Ἐν δ' ἰῇ τιμῇ ἠμὲν κακὸς, ἠδὲ καὶ ἐσθλός.
Κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ, ὅ τε πολλὰ ἐοργώς.
Οὐδέ τί μοι περίκειται, ἐπεὶ πάθον ἄλγεα θυμῷ, +
Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
Ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι
Μάστακ' ἐπεί κε λάβῃσι, κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ.
Ὣς καὶ ἐγὼ, πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον,
Ἤματα δ' αἱματόεντα διέπρησσον πολεμίζων,
Ἀνδράσι μαρνάμενος ὀάρων ἕνεκα σφετεράων.
Δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων.
Πεζὸς δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον.
Τάων ἐκ πασέων, κειμήλια πολλὰ, καὶ ἐσθλὰ
Ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον
Ἀτρείδῃ. ὁ δ' ὄπισθε μένων παρὰ νηυσὶ θοῇσι,
Δεξάμενος διὰ παῦρα δασάσκετο. πολλὰ δ' ἔχεσκε,
Ἄλλα δ' ἀριστήεσσι δίδου γέρα καὶ βασιλεῦσι.
Τοῖσι μὲν ἔμπεδα κεῖται. ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν,
Εἵλετ', ἔχει δ' ἄλοχον θυμαρέα, τῇ παριαύων,
Τερπέσθω. τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσιν
Ἀργείους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας
Ἀτρείδης. ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;
Ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρείδαι; ἐπεὶ † ὅς τις ἀγαθὸς, καὶ ἐχέφρων, † ἐπειή
Τὴν αὐτοῦ φιλέει, καὶ κήδεται. ὡς καὶ ἐγὼ τὴν,
Ἐκ θυμοῦ φίλεον, δουρικτητήν περ ἐοῦσαν.
Νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο, καί μ' ἀπάτησε,
Μή μευ πειράτω εὖ εἰδότος. οὐδέ με πείσει. +
Ἀλλ' Ὀδυσεῦ, σὺν σοί τε, καὶ ἄλλοισι βασιλεῦσι,
Φραζέσθω νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ.
Ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο.
Καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ' αὐτῷ,
Εὐρεῖαν, μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξεν.
Ἀλλ' οὐδ' ὧς δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο
Ἴσχειν. ὄφρα δ' ἐγὼ μετ' Ἀχαιοῖσι πολέμιζον,
Οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ,
Ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας, καὶ φηγὸν ἵκανεν.
Ἔνθα ποτ' οἶον ἔμιμνε, μόγις δέ μευ ἔκφυγεν ὁρμήν.
Νῦν δ' ἐπεὶ οὐκ ἐθέλω πολεμίζειν Ἕκτορι δίῳ,
Αὔριον

τρύζητε.] πολυλογεῖτε, γογγύζετε. ἀπὸ τῆς τρυγόνος ἡ μεταφορά. ὁμῶς.] ὁμοίως, ἴσως. Ἀΐδαο πύλῃσι.] τῷ θανάτῳ, περιφραστικῶς. κεύθει.] κρύπτει. νῷ ἢ ἐνθυμεῖται. νωλεμές.] ἀδιαλείπτως. ἐν δὲ ἰῇ.] ἐν μιᾷ καὶ αὐτῇ. κάτθανε.] τέθνηκεν. ἀεργός.] ἀργὸς, ἄπρακτος. ἐοργώς.] εἰργασμένος. περίκειται.] περιουσιόν τί ἐστιν ἢ πρόκειται. αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος.] τῆς ἐμῆς ψυχῆς ἐν τοῖς κινδύνοις καταφρονῶν.

ἀπτῆσιν.] ἵπτασθαι μὴ δυναμένοις, μικροῖς. μάστακα.] τροφήν.

ἀΰπνους νύκτας ἴαυον.] διὰ νυκτὸς ἄγρυπνος διετέλουν πολλάκις. διέπρησσον.] διήνυον, διετέλουν. ὀάρων.] γυναικῶν. σφετεράων.] τῶν ἰδίων. ἐξελόμην.] ἐξαίρετα ἔλαβον.

δόσκον.] ἐδίδων. διὰ παῦρα δασάσκετο.] ὅλα ἢ λαμβάνων ὀλίγα διένειμε καὶ ἐδίδου. ἔμπεδα.] ἑδραῖα, βέβαια, ἢ ἀσφαλῆ. πέδον γὰρ ἡ γῆ. θυμαρέα.] τῇ ψυχῇ ἀρέσασαν. παριαύων.] συναναπαυόμενος, συγκαθεύδων. ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων Ἀτρεῖδαι.] δυσκόλου τῆς ἐρωτήσεως οὔσης αὐτὸς ἐπιφέρεται. ἐχέφρων.] συνετὸς, σώφρων. τὴν αὐτοῦ φιλέει.] προσυπακουστέον γαμετήν. κήδεται.] φροντίζει. δουρικτητήν.] δορυάλωτον, αἰχμάλωτον. ἔδειμε.] κατεσκεύασεν, ᾠκοδόμησεν. ἤλασε.] κατὰ μῆκος ἔσκαψε καὶ παρέτεινε τῷ τείχει. ἐπ' αὐτῷ.] παρ' αὐτῷ. σκόλοπας.] ἀποξυσμένα ξύλα. ἴσχειν.] ἐπέχειν, κωλύειν. οὐκ ἐθέλεσκεν.] οὐκ ἠδύνατο. ὀρνύμεναι.] παρορμᾶν.

φηγόν.] δρῦν. οἶον ἔμιμνεν.] ἅπαξ ἔμεινεν.

ἱρά.]

ἱρά.] ἱερεῖα, θυσίας. νηήσας.] σωρεύσας, πληρώσας. προερύσσω.] καθελκύσω. ἦρι μάλα.] ὄρθρου πάνυ. ὅθεν καὶ ἠριγένεια. Ἑλλήσποντον.] ἀντὶ τοῦ διὰ Ἑλλησπόντου. Ἑλλήσποντος δέ ἐστιν ἡ ἐν τοῖς στενοῖς θάλασσα παρακειμένη τῇ Τροίᾳ, οὕτως προσαγορευθεῖσα ἀπὸ Ἕλλης τῆς Φρύξου ἀδελφῆς. ἐρεσσέμεναι.] ἐρέσσειν, κωπηλατεῖν. εὐπλοίην.] εὔπλοιαν, γαλήνην. ἔρρων.] ἐπὶ φθορᾷ παραγινόμενος. διὰ τὰ ἐπισυμβαίνοντα. πολιόν.] λαμπρόν. ξυνθεὶς γὰρ ὁ σίδηρος λαμπρότερος γίγνεται. ἄξομαι.] ἀπαγάγω. ἅσσα.] ἅτινα, ἢ ὅσα. ἐφυβρίζων ἕλετο.] ἀφείλετο μεθ᾽ ὕβρεως. ἀμφαδόν.] ἀναφανδόν, φανερῶς. ἐπισκύζωνται.] ὀργίζωνται. κύνεός περ ἐών.] καίπερ ἄφρων καὶ ἀναιδὴς ὤν. εἰς ὦπα ἰδέσθαι.] εἰς ὄψιν ἐλθεῖν. ἤλιτεν.] ἥμαρτεν. ἐξαπάφοιτο.] ἐξαπατήσοι. οἱ.] αὐτῷ. ἐν καρὸς αἴσῃ.] ἐν μοίρᾳ θανάτου, ὡς θάνατον περιφραστικῶς. τινὲς μεταβάλλουσι τὸ α. ὡς κ. ἵν᾽ ᾖ κατὰ κηρὸς ἀκούοντες κατὰ θανάτου. ἢ ὡς ἔνιοι ἐν τάξει μισθοφόρου. πρῶτοι γὰρ Κᾶρες ἐπολέμησαν ἐπὶ μισθῷ καὶ ἔδοξαν εἶναι ἀτιμότατοι. προτινίσσεται.] προσδύεται, προσέρχεται. ὅ ἐστιν ἀνάγεται. Θήβας Αἰγυπτίας.] τὰς νῦν καλουμένας Διόσπολιν. ἐξοιχνεῦσιν.] ἔξεισιν, ἐξέρχονται. ὅσα ψάμαθός τε κόνις τε.] ἀντὶ τοῦ ἀναρίθμητα καὶ πολλὰ τῷ πλήθει. λώβην.] ὕβριν. ἰσοφαρίζοι.] ἐξισοῦται καὶ ἐρίζοι. τὸ αὐτὸ δέ ἐστιν ἐκ παραλλήλου. γαμέσσεται.] πρὸς γάμον λήψεται. ἀν᾽ Ἑλλάδα τε Φθίην τε.] Ἀρίσταρχος παρ᾽ Ὁμήρῳ Θεσσαλίαν μόνην τὴν Ἑλλάδα φησὶν εἶναι. καὶ Ἕλληνας τοὺς Θετταλούς. παρακολουθῶν Θουκυδίδῃ. καὶ ἀθετεῖ τὸν στίχον τοῦτον. ἐγχείῃ δ᾽ ἐκέκαστο πανέλληνας
» καὶ Ἀχαιούς. καὶ ἐκεῖ δὲ πάλιν τὴν
» Θετταλίαν ἀκούει. φεύγων ἔπειτ᾽ ἀπάνευθε δι᾽ Ἑλλάδος εὐρυχόροιο. ῥύονται.] φυλάττουσι, σώζουσιν. ἐπέσσυτο.] ἐφορμᾶν θέλει. ἀγήνωρ. νῦν ἄγαν ἀνδρεῖος. ὅτε δὲ ὁ αὐθάδης καὶ ὑπερήφανος. μνηστήν.] εἰς μνηστείαν δοθεῖσαν, νόμιμον. εἰκυῖαν ἄκοιτιν.] ἐμοὶ πρέπουσαν γαμετήν. γέρων.] εἴρηται ἤτοι παρὰ τὸ περὶ τὸ γῆρας εἶναι, ἵν᾽ ᾖ παρώνυμον τὸ ὄνομα, ἢ παρὰ τὸ ἕτοιμον ἤδη εἰς τιμὴν

ἢ ὁ ἐρ

Αὔριον ἱρὰ Διῒ ῥέξας, καὶ πᾶσι θεοῖσι
Νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω,
Ὄψεαι ἢν ἐθέλῃσθα, καὶ αἴκεν τοι τὰ μεμήλῃ,
Ἦρι μάλ᾽ Ἑλλήσποντον ἐπ᾽ ἰχθυόεντα πλεούσας
Νῆας ἐμὰς, ἐν δ᾽ ἄνδρας ἐρεσσέμεναι μεμαῶτας.
Εἰ δέ κεν εὐπλοίην δώῃ κλυτὸς Ἐννοσίγαιος,
Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.
Ἔστι δέ μοι μάλα πολλὰ, τὰ κάλλιπον ἐνθάδε ἔρρων.
Ἄλλον δ᾽ ἐνθένδε χρυσὸν, καὶ χαλκὸν ἐρυθρὸν,
Ἠδὲ γυναῖκας ἐϋζώνους, πολιόν τε σίδηρον
Ἄξομαι. ἅσσ᾽ ἔλαχόν γε. γέρας δέ μοι ὅσπερ ἔδωκεν,
Αὖτις ἐφυβρίζων ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδης. τῷ πάντ᾽ ἀγορευέμεν ὡς ἐπιτέλλω
Ἀμφαδὸν, ὄφρα καὶ ἄλλοι ἐπισκύζωνται Ἀχαιοί,
Εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήσειν,
Αἰὲν ἀναιδείην ἐπιειμένος. οὐδ᾽ ἂν ἔμοιγε
Τετλαίη κύνεός περ ἐὼν, εἰς ὦπα ἰδέσθαι.
Οὐδέ τί οἱ βουλὰς συμφράσσομαι, οὐδὲ μὲν ἔργον.
Ἐκ γὰρ δή μ᾽ ἀπάτησε καὶ ἤλιτεν, οὐδ᾽ ἂν ἔτ᾽ αὖτις
Ἐξαπάφοιτ᾽ ἐπέεσσιν, ἅλις δέ οἱ, ἀλλὰ ἕκηλος
Ἐρρέτω. ἐκ γάρ εὑ φρένας εἵλετο μητίετα Ζεύς.
Ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρὸς αἴσῃ.
Οὐδ᾽ εἴ μοι δεκάκις τε, καὶ εἰκοσάκις τόσα δοίη,
Ὅσσα τέ οἱ νῦν ἐστὶ, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
Οὐδ᾽ ὅσ᾽ ἐς Ὀρχομενὸν προτινίσσεται, οὐδ᾽ ὅσα Θήβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται,
Αἵ θ᾽ ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ᾽ ἂν ἑκάστην
Ἀνέρες ἐξοιχνεῦσι σὺν ἵπποισιν, καὶ ὄχεσφιν,
Οὐδ᾽ εἴ μοι τόσα δοίη ὅσα ψάμαθός τε, κόνις τε
Οὐδέ κεν ὣς ἔτι θυμὸν ἐμὸν πείσει Ἀγαμέμνων,
Πρίν γ᾽ ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην. +
Κούρην δ᾽ οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο.
Οὐδ᾽ εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι,
Ἔργα δ᾽ Ἀθηναίῃ γλαυκώπιδι ἰσοφαρίζοι,
Οὐδέ μιν ὣς γαμέω. ὁ δ᾽ Ἀχαιῶν ἄλλον ἑλέσθω,
Ὅς τις οἷ τ᾽ ἐπέοικε, καὶ ὃς βασιλεύτερός ἐστι.
Ἢν γάρ δή με σόωσι θεοὶ, καὶ οἴκαδ᾽ ἵκωμαι,
Πηλεύς θήν μοι ἔπειτα γυναῖκα γαμέσσεται αὐτός.
Πολλαὶ δ᾽ Ἀχαιΐδες εἰσὶν ἀν᾽ Ἑλλάδα τε, Φθίην τε,
Κοῦραι ἀριστήων, οἵ τε πτολίεθρα ῥύονται.
Τάων ἥν κ᾽ ἐθέλοιμι φίλην ποιήσομ᾽ ἄκοιτιν.
Ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ
Γήμαντι μνηστὴν ἄλοχον, εἰκυῖαν ἄκοιτιν,
Κτήμασι τέρπεσθαι, τὰ γέρων ἐκτήσατο Πηλεύς.
Οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον, οὐδ᾽ ὅσα φασὶν
Ἴλιον ἐκτῆσθαι εὖ ναιόμενον πτολίεθρον,

Τὸ πρὶν

ἢ ὁ εἰς γῆν ὀρθῶν, ὁ ἐγγὺς τοῦ θανάτου. λάϊνος.] λίθινος. οὐδός.] ὁ βαθμὸς, ἡ φλιά. Ἀφήτορος.] τοῦ Ἀπόλλωνος· ἤτοι ὁμοφήτορος· ὁμοίως πᾶσι προφητεύοντος καὶ μαντευομένου, τῷ τε πένητι, καὶ τῷ πλουσίῳ, ἢ τοξικοῦ, ἀπὸ τοῦ τῶν βελῶν ἀφέσεως.

Τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
Οὐδ' ὅσα λάϊνος οὐδὸς Ἀφήτορος ἐντὸς ἐέργει
Φοίβου Ἀπόλλωνος Πυθοῖ ἐνὶ πετρηέσσῃ.
Ληϊστοὶ μὲν γάρ τε βόες, καὶ ἴφια μῆλα,
Κτητοὶ δὲ τρίποδές τε, καὶ ἵππων ξανθὰ κάρηνα·
Ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστὴ,
Οὔθ' ἑλετή. ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.
Μήτηρ γάρ τέ μέ φησι θεὰ Θέτις ἀργυρόπεζα
Διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλος δε,
Εἰ μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφὶ μάχωμαι,
Ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται.
Εἰ δέ κεν οἴκαδ' ἵκωμαι φίλην ἐς πατρίδα γαῖαν,
Ὤλετό μοι κλέος ἐσθλὸν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
Ἔσσεται, οὐδέ κέ μ' ὦκα τέλος θανάτοιο κιχείη.
Καὶ δ' ἂν τοῖς ἄλλοισιν ἐγὼ παραμυθησαίμην
Οἴκαδ' ἀποπλείειν. ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς. μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺς
Χεῖρα ἑὴν ὑπερέσχε. τεθαρσήκασι δὲ λαοί.
Ἀλλ' ὑμεῖς μὲν ἰόντες ἀριστήεσσιν Ἀχαιῶν,
Ἀγγελίην ἀπόφασθε, τὸ γὰρ γέρας ἐστὶ γερόντων·
Ὄφρ' ἄλλην φράζωνται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
Ἥ κέ σφιν νῆάς τε σόῃ, καὶ λαὸν Ἀχαιῶν
Νηυσὶν ἐπὶ γλαφυρῇς, ἐπεὶ οὔ σφισιν ἥδε γ' ἑτοίμη,
Ἣν νῦν ἐφράσσαντο, ἐμεῦ ἀπομηνίσαντος.
Φοῖνιξ δ' αὖτι παρ' ἄμμι μένων, κατακοιμηθήτω,
Ὄφρα μοι ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται
Αὔριον, ἢν ἐθέλῃσιν. ἀνάγκῃ δ' οὔτι μιν ἄξω.
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
Μῦθον ἀγασσάμενοι. μάλα γὰρ κρατερῶς ἀπέειπεν.
Ὀψὲ δὲ δὴ μετέειπε γέρων ἱππηλάτα Φοῖνιξ,
Δάκρυ' ἀναπρήσας. περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν·
Εἰ μὲν δὴ νόστον γε μετὰ φρεσὶ φαίδιμ' Ἀχιλλεῦ,
Βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶ θοῇσι
Πῦρ ἐθέλεις ἀΐδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
Πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο φίλον τέκος αὖθι λιποίμην
Οἶος. σοὶ δέ μ' ἔπεμπε γέρων ἱππηλάτα Πηλεὺς
Ἤματι τῷ. ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπε
Νήπιον, οὔπω εἰδόθ' ὁμοιΐου πολέμοιο,
Οὐδ' ἀγοράων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσι.
Τοὔνεκά με προέηκε, διδασκέμεναι τάδε πάντα,
Μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων.

ἐντὸς ἐέργει.] ἔσωθεν αὐτοῦ κατέχει. Πυθοῖ ἐνί.] Πυθὼ πόλις Φωκίδος. ἧς οἱ οἰκήτορες Δελφοί. ἔστι δὲ ἱερὰ Ἀπόλλωνος, καὶ κέκληται ἤτοι ἀπὸ τοῦ πυνθάνεσθαι διὰ πυθείας τοὺς μαντευομένους. ἢ ἀπὸ τοῦ τοξευθέντα τὸν τοῦ χρηστηρίου φύλακα δράκοντα ὑπὸ Ἀπόλλωνος, αὐτόθι πυθῆναι ὅ ἐστι σαπῆναι. πετρηέσσῃ.] πετρώδει, τραχείᾳ. ληϊστοί.] οἱ ἐκ λείας καὶ ληστείας. ἴφια μῆλα.] ἀπὸ κοινοῦ, ληϊστά. ξανθὰ κάρηνα.] πυῤῥά. λέγει δὲ ἀπὸ μέρους τοὺς ἵππους. ληϊστή.] ἐκ λείας λαμβανομένη, κτητή. οὔθ' ἑλετή.] οὔτε πάλιν ληπτή. ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.] ἐπειδὴ ἂν φθάσῃ ἅπαξ φθάσῃ παρελθεῖν τὸ περίβολον τῶν ὀδόντων. διὰ γὰρ τοῦ στόματος ἐξέρχεται τὸ ψυχικὸν πνεῦμα. ἀργυρόπεζα.] λευκόπους, καλή, ἀπὸ μέρους. διχθαδίας κῆρας.] δύο μοίρας. φερέμεν.] φέρειν, ἔχειν. θανάτοιο τέλος δε.] εἰς θάνατον περιφραστικῶς. κλέος ἄφθιτον.] ἀθάνατος δόξα, καὶ φήμη.

δηρόν.] ἐπὶ πολὺν χρόνον. παραμυθησαίμην.] παραινέσαιμι. δήετε.] εὑρήσετε. τέκμωρ.] τέλος. μάλα γὰρ ἕθε.] σφόδρα γὰρ αὐτῶν. ἀγγελίην.] πρεσβείαν. ἀπόφασθε.] ἀπαγγείλατε. φράζονται.] σκέπτωνται. μῆτιν.] βουλὴν, γνώμην. σόῃ.] σώζῃ. ἑτοίμη.] δῆλος, φανερά, ἕτοιμος. λέγει δὲ τοῦτο ὅτι ματαία ἐστὶν αὕτη ἡ γνώμη, ἣν ἐποιήσαντο οἱ Ἕλληνες, πέμψαντες ὑμᾶς πρέσβεις πρός με, ὡς δυναμένους πεῖσαι. ἐφράσαντο.] ἐλογίσαντο, ἐσκέψαντο. ἀπομηνίσαντος.] σφόδρα ὀργισθέντος. μένων κατά.] καταμένων. ἀνάγκῃ δ' οὔτι μιν ἄξω.] ἀντὶ τοῦ οὐκ ἀναγκάσω. ἀγασσάμενοι.] θαυμάσαντες. ἀπέειπεν.] ἀπηρνήσατο, ἀπεῖπεν. ἀναπρήσας.] ἀναφυσήσας. ἢ ἀθρόον ἀναβαλών.

περὶ γὰρ δίε.] περισσῶς γὰρ ἐφοβεῖτο. μετὰ φρεσὶ βάλλεαι.] κατὰ νοῦν ἔχεις. αὖθι λιποίμην.] ἀπολειφθείην. σοὶ δέ μ' ἔπεμπεν.] ἀντὶ τοῦ συνέπεμπέ με σοί. ὁμοιΐου πτολέμοιο.] τοῦ ὁμοίως πᾶσι χαλεποῦ. ἀγορέων.] δημηγοριῶν. ῥήσεων, ἢ ἐκκλησιῶν. ἀριπρεπέες.] διαπρέποντες, ἔκδηλοι. τελέθουσιν.] ὑπάρχουσι, γίγνονται. μύθων τε ῥητῆρ' ἔμεναι.] ἀντὶ τοῦ διδάσκαλον εἶναι ἐσόμενον λόγων, ὧν δεῖ λέγειν. πρηκτῆρά τε.] καὶ δραστικὸν ἔργων, ἃ δεῖ πράσσειν.

Ὡς ἂν ἔπειτ' ἀπὸ σεῖο φίλον τέκος, οὐκ ἐθέλοιμι
Λείπεσθ', οὐδ' εἴ κέν μοι ὑποσταίη θεὸς αὐτὸς
Γῆρας ἀποξύσας, θήσειν νέον ἡβώοντα,
Οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα,
Φεύγων νείκεα πατρὸς Ἀμύντορος Ὀρμενίδαο.
Ὅς μοι παλλακίδος περιχώσατο καλλικόμοιο.
Τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ' ἄκοιτιν,
Μητέρ' ἐμήν. ἡ δ' αἰὲν ἐμὲ λισσέσκετο γούνων
Παλλακίδι προμιγῆναι, ἵν' ἐχθήρειε γέροντα.
Τῇ πιθόμην καὶ ἔρεξα. πατὴρ δ' ἐμὸς αὐτίκ' ὀϊσθεὶς,
Πολλὰ κατηρᾶτο, στυγερὰς δ' ἐπεκέκλετ' Ἐριννῦς.
Μή ποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱὸν
Ἐξ ἐμέθεν γεγαῶτα. θεοὶ δ' ἐτέλειον ἐπαρὰς,
Ζεύς τε καταχθόνιος καὶ ἐπαινὴ Περσεφόνεια.
Ἔνθ' ἐμοὶ οὐκέτι πάμπαν ἐρητύετ' ἐν φρεσὶ θυμὸς
Πατρὸς χωομένοιο κατὰ μέγαρα στρωφᾶσθαι.
Ἦ μὲν πολλὰ ἔται καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες,
Αὐτοῦ λισσόμενοι κατερήτυον ἐν μεγάροισι.
Πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς,
Ἔσφαζον. πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ
Εὑόμενοι, τανύοντο διὰ φλογὸς Ἡφαίστοιο.
Πολλὸν δ' ἐκ κεράμων μέθυ πίνετο τοῖο γέροντος.
Εἰνάνυχες δέ μοι ἀμφ' αὐτῷ παρὰ νύκτας ἴαυον.
Οἱ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον. οὐδέποτ' ἔσβη
Πῦρ. ἕτερον μὲν ὑπ' αἰθούσῃ εὐερκέος αὐλῆς,
Ἄλλ' ὅδ' ἐνὶ προδόμῳ, πρόσθεν θαλάμοιο θυράων.
Ἀλλ' ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννὴ,
Καὶ τότ' ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας
Ῥήξας, ἐξῆλθον, καὶ ὑπέρθορον ἑρκίον αὐλῆς,
Ῥεῖα, λαθὼν φύλακάς τ' ἄνδρας, δμῳάς τε γυναῖκας.
Φεῦγον. ἔπειτ' ἀπάνευθε δι' Ἑλλάδος εὐρυχόροιο,
Φθίην δ' ἐξικόμην ἐριβώλακα μητέρα μήλων.
Ἐς Πηλῆα ἄναχθ', ὁ δέ με πρόφρων ὑπέδεκτο,
Καί με φίλησ', ὡς εἴτε πατὴρ ὃν παῖδα φιλήσῃ
Μοῦνον, τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσι.
Καί μ' ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν.
Ναῖον δ' ἐσχατιὴν Φθίης, Δολόπεσσιν ἀνάσσων.

Καί σε

ὡς ἂν ἔπειτ' ἀπὸ σεῖο φίλον τέκος οὐκ ἐθέλοιμι λείπεσθαι.] διὸ οὐκ ἀπολειφθήσομαί σου. ὑποσταίη.] ὑπόσχοιτο. ἀποξύσας.] ἀφελών. νέον ἡβώοντα.] ἀκμάζοντα, σώζοντα. νείκεα.] φιλονεικίας, ἀπειλάς. φεύγων νείκεα πατρὸς Ἀμύντορος.] Φοῖνιξ ὁ Ἀμύντορος ὃς ἐξέπεσε τῆς οἰκίας γῆς διὰ ταύτην τὴν αἰτίαν, τοῦ πατρὸς αὐτοῦ παλλακίδα μὲν ὀνόματι Κλυτίαν ἀγαπῶντος. Ἱπποδάμειαν δὲ, ἐξ ἧς τὸν Φοίνικα ἔτεκε, συνόντος. δεηθείσης δὲ μητρὸς τῇ παλλακίδι τοῦ πατρὸς Κλυτίᾳ ἐμίγη. γνοὺς δὲ Ἀμύντωρ ἐπηράσατο τῷ παιδὶ δυστυχίαν περὶ τέκνων γονήν. δείσας δὲ Φοῖνιξ τὸν πατέρα καὶ τὰς ὑπ' αὐτοῦ γενομένας ἀρὰς, φεύγει πρὸς Πηλέα. ὃς ὑποδεξάμενος αὐτὸν διὰ τὴν συγγένειαν, δίδωσιν αὐτῷ τὴν Δολοπίαν χώραν. καὶ Ἀχιλλέα τὸν υἱὸν μικρὸν ὄντα, εἰς ἀνατροφὴν παραδίδωσιν. Ὀρμενίδαο.] Ὀρμένου παιδός. περιχώσατο.] περισσῶς ὠργίσθη. ἀτιμάζεσκεν.] ἠτίμαζε. προμιγῆναι.] συνελθεῖν, μιγῆναι. ἐχθήρειε.] μισήσειεν. πιθόμην.] ἐπείσθην. ὀϊσθείς.] ὑπονοήσας. στυγεράς.] μισητὰς, φρικτάς. ἐπεκέκλετο.] ἐπεκαλεῖτο. ἐριννύς.] καταχθόνιοι δαίμονες τιμωρητικοὶ τῶν πατρικῶν ἀσεβημάτων. ὧν τὰ ὀνόματα, Ἀληκτὼ, Τισιφόνη, Μέγαιρα. γεγαῶτα.] γεγεννημένον. ἐφέσσεσθαι.] ἐπικαθεσθῆναι. θεοὶ δ' ἐτέλειον ἐπαράς.] ἐπετέλουν δὲ οἱ θεοὶ τὰς κατάρας αὐτοῦ. Ζεύς τε καταχθόνιος.] ὁ Πλούτων. καὶ ἐπαινή.] ἐπίφοβος, δεινή. αἰνὸν γὰρ τὸ δεινόν. ἢ ἣν οὐκ ἄν τις ἐπαινέσειεν. ἀντίφρασις ὁ τρόπος. ἢ ὑπερβολικῶς. ἣν ἄν τις φησὶν ἐπαινεῖν παραιτήσαιτο. ἐρητύετο.] ἠρεμίᾳ κατείχετο. στρωφᾶσθαι.] ἀναστρέφεσθαι, διάγειν. ἔται.] ἑταῖροι, πολῖται. ἀνεψιοί.] ἀδελφῶν υἱοί. ὡς Ἀχιλλεὺς καὶ Αἴας. ἀδελφιδοῖ δὲ οἱ ἀδελφῶν παῖδες. ὡς Ὀρέστης Μενελάου. ἀμφὶς ἐόντες.] περὶ ἐμὲ ὄντες, παρόντες. ἴφια.] ἰσχυρὰ, εὐτραφῆ. ἕλικας.] μέλανας. ἢ ἑλικοειδῆ τὰ κέρατα ἔχοντας. εὑόμενοι.] φλογιζόμενοι, ὀπτώμενοι. τανύοντο.] ἐξετείνοντο. κεράμων.] πίθων. μέθυ.] οἶνος. εἰνάνυχες.] ἐπὶ ἐννέα νύκτας. ἀμειβόμενοι.] ἐξ ἀμοιβῆς φυλάσσοντες ὅ ἐστιν ἐκ διαδοχῆς. ἔσβη.] ἐπαύσατο, ἐσβέσθη. αἰθούσῃ.] αἴθουσαι αἱ ὑπὸ τοῦ ἡλίου καταυγαζόμεναι στοαί παρὰ τὸ αἴθεσθαι. εὐερκέος.] ἀσφαλῆ περίβολον ἐχούσης. προδόμῳ.] τῷ προστῴῳ τοῦ θαλάμου. δείκνυσι τὴν τάξιν. θάλαμος μὲν γὰρ ὁ ἔσω οἶκος τῆς αὐλῆς. τὸ δὲ πρὸ αὐτοῦ πρόδομος. αἴθουσα δὲ περίστυλον τοῦτ' ἔστι πρὸς ἥλιον τετραμμένη στοὰ παρὰ τὸ αἴθεσθαι. ὅ ἐστι φλέγεσθαι. πυκινῶς.] ἐπιμελῶς, ἀσφαλῶς. ὑπέρθορον.] ὑπερηλάμην, ἐξέφυγον. Ἑλλάδος.] Ἑλλὰς καὶ Φθία πόλεις τῆς Θετταλίας. ἐς Πηλῆα ἄνακτα.] ἀντὶ τοῦ πρὸς τὸν Πηλέα ἱκέτης παραγινόμενος καὶ ἱκετεύσας. ὤπασε.] παρέσχεν, ἔδωκε.

τοσοῦτον

τοσοῦτον ἔθηκα.] τηλικοῦτον ἐποίησα. ἔστι δὲ ποσότης ἀντὶ πηλικότητος. ἐσχατίην.] τὰ ἔσχατα μέρη. ἐπιείκελε.] ἐφόμοιε. πάσασθαι.] γεύσασθαι. ὄψου.] προσοψήματος. προσφαγίου. ἄσαιμι.] πληρώσαιμι. κορέσαιμι. προταμών.] ἤτοι ἀποκόψας. ἢ τὸ σκληρὸν τῆς τροφῆς προκατεργασάμενος. κατέδευσας.] διάβροχον ἐποίησας. κατέβρεξας.

Καί σε τοσοῦτον ἔθηκα θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ
Ἐκ θυμοῦ φιλέων, ἐπεὶ οὐκ ἐθέλεσκες ἅμ' ἄλλῳ
Οὔτ' ἐς δαῖτ' ἰέναι, οὔτ' ἐν μεγάροισι πάσασθαι,
Πρίν γ' ὅτε δή σ' ἐπ' ἐμοῖσιν ἐγὼ γούνασι καθίσας,
Ὄψου τ' ἄσαιμι προταμὼν, καὶ οἶνον ἐπισχών.
Πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσι χιτῶνα
Οἴνου ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ.
Ὣς ἐπὶ σοὶ μάλα πόλλ' ἔπαθον, καὶ πόλλ' ἐμόγησα,
Τὰ φρονέων, ὅ μοι οὔτι θεοὶ γόνον ἐξετέλειον
Ἐξ ἐμεῦ. ἀλλὰ σὲ παῖδα θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ
Ποιεύμην, ἵνα μοί ποτ' ἀεικέα λοιγὸν ἀμύνῃς.
Ἀλλ' Ἀχιλλεῦ δάμασον θυμὸν μέγαν, οὐδέ τί σε χρὴ
Νηλεὲς ἦτορ ἔχειν, στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.
Τῶνπερ καὶ μείζων ἀρετὴ, τιμή τε, βίη τε.
Καὶ μὲν τοὺς θυέεσσι, καὶ εὐχωλῇς ἀγανῇσι,
Λοιβῇ τε, κνίσῃ τε, παρατρωπῶσ' ἄνθρωποι
Λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ, καὶ ἁμάρτῃ.
Καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,
Χωλαί τε, ῥυσαί τε, παραβλῶπές τ' ὀφθαλμώ,
Αἵ ῥά τε καὶ μετόπισθ' Ἄτης ἀλέγουσι κιοῦσαι.
Ἡ δ' Ἄτη σθεναρή τε, καὶ ἀρτίπος. οὕνεκα πάσας
Πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν
Βλάπτουσ' ἀνθρώπους, αἱ δ' ἐξακέονται ὀπίσω.
Ὃς μέν τ' αἰδέσεται κούρας Διὸς ἆσσον ἰούσας,
Τὸν δὲ μέγ' ὤνησαν, καί τ' ἔκλυον εὐξαμένοιο.
Ὃς δέ κ' ἀνήνηται, καί τε στερεῶς ἀποείπῃ.
Λίσσονται δ' ἄρα ταί γε Δία Κρονίωνα κιοῦσαι,
Τῷ ἄτην ἅμ' ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτίσῃ.
Ἀλλ' Ἀχιλεῦ, πόρε καὶ σὺ Διὸς κούρῃσιν ἕπεσθαι
Τιμὴν, ἥτ' ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν.
Εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ' ὄπισθ' ὀνομάζοι
Ἀτρείδης, ἀλλ' αἰὲν ἐπιζαφελῶς χαλεπαίνοι
Οὐκ ἂν ἔγωγέ σε μῆνιν ἀπορρίψαντα κελοίμην
Ἀργείοισιν ἀμυνέμεναι χατέουσι περ ἔμπης.
Νῦν δ' ἅμα τ' αὐτίκα πολλὰ δίδοι, τὰ δ' ὄπισθεν ὑπέστη
Ἄνδρας δὲ λίσσεσθαι ἐπιπροέηκεν ἀρίστους,
Κεινάμενος κατὰ λαὸν Ἀχαϊκὸν, οἵ τε σοὶ αὐτῷ
Φίλτατοι Ἀργείων, τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς,
Μὴ δὲ πόδας, πρὶν δ' οὔτι νεμεσσητὸν κεχολῶσθαι. +

Οὕτω

ἀποβλύζων.] ἀπεμῶν. ἐκβάλλων. ὀνοματοποιία ὁ τρόπος. ἐν νηπιέῃ ἀλεγεινῇ.] ἐν τῇ χαλεπῇ παιδοτροφίᾳ. ἀλεγεινῇ.] ἀλγεινῇ. ἐκ τοῦ ποιεῖν ἀλγεῖν τὴν ψυχήν. ἐξετέλειον.] ἐδίδωκαν. δάμασον.] κατάπραυνον. νηλεές.] ἀπηνές. ἀπότομον. στρεπτοί.] εὐμετάστρεπτοι. εὐμετάβλητοι. εὔπιστοι. ἐναντίον τὸ· στρεπτοὶ δὲ καὶ θεοὶ αὐτοί. τῷ, οὐ γάρ αἶψα θεῶν τρέπεται νόος. λύοιτο δ' ἂν προσώπῳ, ὅτι τὸ μὲν ὁ ποιητής φησιν. ἐκεῖνο δὲ ὁ Φοίνιξ λέγει. ἐν καιρῷ ὀργιζομένου Ἀχιλλέως, εἰκότως, καὶ τοὺς θεοὺς πείθεσθαι. θυέεσσι.] θυμιάμασι. θυσίαις. εὐχωλῇς.] εὐχαῖς. εὐχωλαῖς. ἀγανῇσι.] προσηνέσι. πράοις. παρατρωπῶσι.] περιτρέπουσι. πείθουσιν. ὑπερβήῃ.] παρέλθῃ. Λιταί.] θεαὶ οὕτως ἐπικαλούμεναι. καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι.] ἀνειδωλοποιεῖ τὰς λιτὰς ὡς δαίμονάς τινας. χωλὰς μὲν οὖν αὐτὰς κέκληκε, διὰ τὸ βραδέως καὶ μόλις προσιέναι καὶ γονυκλινεῖς λιτανεύειν τούτους, οὓς ἂν προηδικηκότες ὦσι. ῥυσὰς καὶ διαστρόφους τὰς ὄψεις, ἐπεὶ βαρέως καὶ οὐ γεγηθότι τῷ προσώπῳ. οὐ δὲ ὀρθῷ τῷ βλέμματι προσορᾶν δύνανται τοὺς προηδικημένους. παρ' ὧν αἰτοῦνται συγγνώμην. Διὸς δὲ θυγατέρας γενεαλογεῖ. ὥστε σεβασμιωτέρας φαίνεσθαι. χωλαί.] χωλοποιοί. Ῥυσαί.] ῥυτίδας ἔχουσαι. ῥυτίδες δὲ καλοῦνται αἱ ἐπὶ τοῦ μετώπου τοῦ δέρματος συστροφαί. παραβλῶπες.] παρηγμέναι. διάστροφοι τοὺς ὀφθαλμούς, ἐπειδὴ οἱ ἱκετεύοντες ὑπὲρ τοῦ ἐλεεινοὶ φαίνεσθαι, προσίασιν οἰκτροὶ τὰ σχήματα αὐτῶν καὶ τὰς ὄψεις ἔχοντες. μετόπισθ'.] ἐξόπισθεν ἐξ ὑστέρου. ἀλέγουσι.] φροντίζουσι. κιοῦσαι.] ἐλθοῦσαι. σθεναρή.] ἰσχυρά. ἀρτίπος.] ἄρτιος καὶ ὑγιὴς τοῖς ποσίν. ὁλόκληρος. οὕνεκα.] διότι. ὑπεκπροθέει.] ὑπεραίρει. προλαμβάνει. φθάνει.] προήκει. προλαμβάνει. ἐξακέονται.] ἰῶνται ἀποθεραπεύουσι. αἰδέσεται.] αἰδεσθῇ. στερεῶς.] ἰσχυρῶς. σκληρῶς. ἀποείπῃ.] ἀπαρνήσηται. ἀπείπῃ. ἀποτίσῃ] δίκην ἀποδῷ. ὅ ἐστι τιμωρίαν. ἐπιγνάμπτει. πραΰνει. ἐπιζαφελῶς.] ἐπιμόνως ηὐξημένως. ἢ ἐξημμένως. ἀπὸ τοῦ φλέγω. ἀπορρίψαντα.] ἀποβαλόντα. κελοίμην.] κελεύσοιμι. χατέουσι.] χρῄζουσι. ὑπέστη.] ὑπέσχετο. κρινάμενος.] ἐπιλεξάμενος. μῦθον ἐλέγξῃς.] διό φησι μὴ ἀτιμάσῃς ἡμῶν τὸν ὑπὲρ τῆς ἀξιώσεως λόγον καὶ πρεσβείας. μὴ δὲ πόδας.]

μένδε τὴν ἐνθάδε ἄφιξιν. πρὶν δ' οὔτι νεμεσσητὸν κεχολῶσθαι.] πρότερον δὲ οὐ μεμπτὸς ὑπῆρχες ὀργιζόμενος. τῶν πρόσθεν.] τῶν πρὸ ἡμῶν. ἐπευθόμεθα.] ἠκούομεν. δωρητοί.] δώροις πειθόμενοι. πάλαι.] πρὸ πολλοῦ. ἐπίρρημα χρόνου δηλωτικόν. οὔτι νέον γε.] οὐ νεωστί. ὡς ἦν.] ὡς ἐγένετο. κουρῆτες.] Ἀκαρνᾶνες. οἱ ἐν Πλευρῶνι πόλει τῆς Αἰτωλίας οἰκοῦντες· ὠνομάσθησαν δὲ οὕτως, παρὰ τὸ μὴ κείρεσθαι τὰς κόμας. Αἰτωλοί. οἱ Καλυδώνιοι. ἐπεὶ καὶ οἱ Κουρῆτες Αἰτωλοὶ ὑπῆρχον ἐμφυλίου ὄντος τοῦ πολέμου. ἡ οὖν Καλυδὼν πρώτη πόλις τῆς Αἰτωλίας. Κουρῆτές τε μάχοντο καὶ Αἰτωλοί.] Οἰνεὺς Αἰτωλίας δυνάστης τὰς ἀπαρχὰς τῶν ἐτησίων καρπῶν τοῖς θεοῖς θύων, Ἄρτεμιν μόνην κατέλιπεν. ἡ δὲ θεὸς ὀργισθεῖσα, μέγα τοῖς Αἰτωλοῖς συὸς χρῆμα ἔπεμψεν. ὃς οὐ μόνον τὴν χώραν ἀλλὰ καὶ τοὺς ἐνοικοῦντας διέφθειρε. Καλυδώνιοι δὲ καὶ Πλευρώνιοι προῆλθον ἐπὶ τοῦτον. Μελέαγρος δὲ ὁ Οἰνέως, πρῶτος ἐπιτυχὼν γέρας τε τοῦ συὸς ἀκροθίνια λαβὼν τὴν κεφαλὴν καὶ τὸ δέρας Ἀταλάντῃ δι' ἔρωτα δωρεῖται. καὶ αὐτὴ γὰρ συνεξῆλθεν αὐτοῖς ἐπὶ κυνηγίαν. οἱ δὲ Θεστίου παῖδες, ἀδελφοὶ δὲ τῆς Μελεάγρου μητρὸς Ἀλθαίας, ὀργίλως ἐπὶ τούτῳ διατεθέντες ἐπεβούλευον τῷ Μελεάγρῳ. ὁ δὲ προγνούς, οὓς μὲν ἀπέκτεινεν. οὓς δὲ εἰς φυγὴν τραπῆναι ἐποίησε. διόπερ Πλευρώνιοι τοῖς Καλυδωνίοις ἐπεστράτευον. Μελέαγρος δὲ κατ' ἀρχὰς τῇ μητρὶ μηνίων οὐκ ἐβοήθει τῇ πατρίδι. πορθουμένης δὲ ἤδη τῆς πόλεως, πεισθεὶς ὑπὸ Κλεοπάτρας τῆς γυναικὸς προσελθών, οὓς μὲν ἀνεῖλεν οὓς δὲ ἠνάγκασε διώκων κατὰ κρημνῶν ἐνεχθῆναι. Ἀλθαία δὲ μηνιῶσα τῷ παιδί, τὴν ὑπὸ μοιρῶν δεδομένην δᾷδα κατέφλεξεν. ἣν δὲ πεπρωμένον ἐκείνης κατακαείσης, καὶ τὸν Μελέαγρον ἀποθανεῖν. φθαρέντος δὲ τοῦ παιδός, Ἀλθαία μετανοήσασα, ἑαυτὴν ἀναιρεῖ. μενεχάρμαι.] ὑπομονητικοὶ ἐν μάχαις. πολεμικοί. ἐνάριζον.] ἐφόνευον. θαλύσια.] τὰς ὑπὲρ εὐθαλείας καὶ εὐφορίας τῶν καρπῶν διδομένας θυσίας μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν τοῖς τε ἄλλοις καὶ τῇ Δήμητρι.

Οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν
Ἡρώων, ὅτε κέν τιν' ἐπιζάφελος χόλος ἵκοι,
Δωρητοί τε πέλοντο, παραῤῥητοί τ' ἐπέεσσι.
Μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, ὅτι νέον γε,
Ὡς ἦν, ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι.
Κουρῆτές τ' ἐμάχοντο, καὶ Αἰτωλοὶ μενεχάρμαι
Ἀμφὶ πόλιν Καλυδῶνα, καὶ ἀλλήλους ἐνάριζον.
Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς,
Κουρῆτες δὲ, διαπραθέειν μεμαῶτες Ἄρηϊ
Καὶ γὰρ τοῖσι κακὸν χρυσόθρονος Ἄρτεμις ὦρσε
Χωσαμένη. ὅ οἱ οὔτι θαλύσια γουνῷ ἀλωῆς
Οἰνεὺς ῥέξ', ἄλλοι δὲ θεοὶ δαίνυνθ' ἑκατόμβας,
Οἴῃ δ' οὐκ ἔρρεξε Διὸς κούρῃ μεγάλοιο,
Ἢ λάθετ', ἢ οὐκ ἐνόησεν, ἀάσατο δὲ μέγα θυμῷ.
Ἡ δὲ χολωσαμένη δῖον γένος ἰοχέαιρα,
Ὦρσεν ἔπι χλούνην σῦν ἄγριον ἀργιόδοντα,
Ὃς κακὰ πόλλ' ἔρδεσκεν ἔθων Οἰνῆος ἀλωήν.
Πολλὰ δ' ὅ γε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρὰ
Αὐτῇσιν ῥίζῃσι, καὶ αὐτοῖς ἄνθεσι μήλων.
Τὸν δ' υἱὸς Οἰνῆος ἀπέκτεινεν Μελέαγρος,
Πολλέων ἐκ πολίων θηρήτορας ἄνδρας ἀγείρας,
Καὶ κύνας. οὐ μὲν γάρ κε δάμη παύροισι βροτοῖσιν
Τόσσος ἔην. πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς.
Ἡ δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαδον, καὶ ἀϋτὴν
Ἀμφὶ συὸς κεφαλῇ, καὶ δέρματι λαχνήεντι,
Κουρήτων τε μεσηγὺ, καὶ Αἰτωλῶν μεγαθύμων.
Ὄφρα μὲν οὖν Μελέαγρος ἀρηΐφιλος πολέμιζε,
Τόφρα δὲ Κουρήτεσσι κακῶς ἦν. οὐδ' ἐδύναντο
Τείχεος ἔκτοσθε μίμνειν, πολέες περ ἐόντες.

ΑΛΛ'

γουνῷ ἀλωῆς.] ἐν τῷ γονιμωτάτῳ καὶ καρπίμῳ χωρίῳ τῆς γῆς. ἔρρεξεν.] ἐτέλεσεν. ἢ λάθετ' ἢ οὐκ ἐνόησεν.] ἤτοι ἐννοήσας θῦσαι, ἐπελάθετο. ἢ οὐδ' ὅλως ἐπενόησεν. ἀάσατο δὲ μέγα.] ἐβλάβη δὲ μεγάλως. δῖον γένος.] Διὸς θυγάτηρ. ἰοχέαιρα.] βέλεσι χαίρουσα. τοξότης. χλούνην. κατὰ τὸ ἔτυμον χλοεύνην, τὸν ἐν τῇ χλόῃ εὐναζόμενον, εὐτραφῆ. ἢ τὸν ἀφριστήν. οἱ δὲ τὸν τομίαν, ἄλλοι δὲ τὸν ἐπιχλούνη, χωρίῳ οὕτως καλουμένῳ ἐνδιατρίβοντα. ἀργιόδοντα.] λευκοὺς ὀδόντας ἔχοντα. ἔρδεσκεν.] εἰργάζετο. ἔπραττεν. ἔθων.] ἐξ ἔθους κατατρέχων. καὶ βλάπτων. ἀλωήν.] κοινῶς τὴν καρποφόρον χώραν. προθέλυμνα.] πρόρριζα. ἐπάλληλα. καὶ πυκνά. ἄνθεσι μήλων. τοῖς καρποῖς. θηρήτορας. κυνηγέτας. τόσσος ἔην.] ηλικοῦτος ἦν. πυρῆς ἐπέβησεν.] ἀντὶ τοῦ πυρὸς ἐπιβίβασιν, ἀνεῖλεν αὐτούς. κέλαδον.] ταραχήν, θόρυβον. ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι.] ὡς καὶ τῆς κεφαλῆς τῷ δέρματι προσεχομένης. ταῦτα δὲ συνέκειτο δοθῆναι ἀριστεῖα τῷ πρώτως βαλόντι τὸν σῦν. λαβὼν δὲ αὐτὰ ὁ Μελέαγρος, ἐδωρήσατο Ἀταλάντῃ τῇ Ἰάσου Ἀρκάδι τὸ γένος. λοχίσαντες δὲ αὐτὴν οἱ μήτρωες τοῦ Μελεάγρου, ἀφείλοντο τὸ γέρας τῆς κόρης ἐφ' ᾧ ὀργισθεὶς ὁ Μελέαγρος, διεχρήσατο αὐτούς. λυπηθεῖσα δὲ ἐπὶ τοῖς ἀδελφοῖς ἡ Ἀλθαία ἡ τοῦ Μελεάγρου μήτηρ, κατέφλεξε τὸν ὑπὸ μοιρῶν αὐτῇ δοθέντα δαλόν. ὄντα συνεκτικὸν τῆς Μελεάγρου ζωῆς. ᾧ

συνδιεφθάρη

συνδιεφθάρη καὶ ὁ Μελέαγρος. λαχνήεντι.] δασεῖ. ἔδυ.] ὑπεισῆλθεν, ἔλαβεν. ἔνδοθεν.] ἀντὶ τοῦ ἐντός, ἔξω. οἰδάνει.] εἰς ὕψος αἴρεσθαι ποιεῖ, ἐμπίπρησι. πύκα περ φρονεόντων.] σωφρονούντων, συνετῶν. Ἀλθαίῃ.] Ἀλθαία ἡ μήτηρ τοῦ Μελεάγρου, ἡ δὲ Κλεοπάτρα Ἴδου καὶ Μαρπίσσης τῆς Εὐήνου θυγατρός, Μελεάγρου δὲ γυνή. κεῖτο.] ἀργὸς διετέλει. κούρῃ Μαρπήσσης.] καὶ τὰ ἑξῆς. Εὔηνος Ἄρεος παῖς, βασιλεὺς Αἰτωλίας, ἔχων θυγατέρα εὐπρεπεστάτην Μάρπισσαν τοὔνομα, τοὺς μνηστευομένους αὐτὴν προεκαλεῖτο εἰς ἁρματηλασίας ἀγῶνα, λέγων ἐκδώσειν τῷ δια-

Ἀλλ' ὅτε δὴ Μελέαγρον ἔδυ χόλος, ὅς τε καὶ ἄλλων
Οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων,
Ἤτοι ὁ μητρὶ φίλῃ Ἀλθαίῃ χωόμενος κῆρ,
Κεῖτο παρὰ μνηστῇ ἀλόχῳ καλῇ Κλεοπάτρῃ,
Κούρῃ Μαρπήσσης καλλισφύρου Εὐηνίνης,
Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν,
Τῶν τότε· καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον
Φοίβου Ἀπόλλωνος, καλλισφύρου εἵνεκα νύμφης.
Τὴν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ,
Ἀλκυόνην καλέεσκον ἐπώνυμον· οὕνεκ' ἄρ' αὐτῆς
Μήτηρ ἀλκυόνος πολυπενθέος οἶτον ἔχουσα
Κλαῖεν, ὅτε μιν ἑκάεργος ἀνήρπασε Φοῖβος Ἀπόλλων.
Τῇ ὅ γε παρκατέλεκτο, χόλον θυμαλγέα πέσσων,
Ἐξ ἀρέων μητρὸς κεχολωμένος, ἥ ῥα θεοῖσι
Πόλλ' ἀχέουσ', ἠρᾶτο κασιγνήτοιο φόνοιο,
Πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία
Κικλήσκουσ' Ἀΐδην, καὶ ἐπαινὴν Περσεφόνειαν,
Πρόχνυ καθεζομένη, δεύοντο δὲ δάκρυσι κόλποι,
Παιδὶ δόμεν θάνατον· τῆς δ' ἠεροφοῖτις Ἐρινὺς
Ἔκλυεν ἐξ Ἐρέβευσφιν, ἀμείλιχον ἦτορ ἔχουσα.
Τῶν δὲ τάχ' ἀμφὶ πύλας ὅμαδος, καὶ δοῦπος ὀρώρει
Πύργων βαλλομένων. τὸν δ' ἐνίσοντο † γέροντες † ἐλίσσοντο.
Αἰτωλῶν· πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους
Ἐξελθεῖν, καὶ ἀμῦναι, ὑποσχόμενοι μέγα δῶρον,

ὁππόθι

φυγόντι αὐτὸν διώκοντα· τοὺς δὲ λειφθέντας καρατομῶν, ἐπετίθει τὰς κεφαλὰς ἐπὶ τοῦ τείχους τῆς οἰκίας, εἰς κατάπληξιν τῶν λοιπῶν. πολλῶν τοίνυν ἤδη ἀνῃρημένων, Ἴδας λόγῳ μὲν Ἀφαρέως υἱός, τῇ δὲ ἀληθείᾳ Ποσειδῶνος, τελευταῖος λαβὼν παρὰ τοῦ πατρὸς ἵππους ποδωκεστάτους, ἥρπασε τὴν κόρην, χορεύουσαν ἐν Ἀρτέμιδος. Εὔηνος δὲ ὡς οὐκ ἠδύνατο καταλαβεῖν, ἀποσφάξας τοὺς ἵππους οὓς εἶχεν, ἑαυτὸν ἔρριψεν εἰς τὸν Λυκόρμαν ποταμόν, ὃς ἀπ' αὐτοῦ Εὔηνος προσηγορεύθη. διαπεφευγότι δὲ τῷ Ἴδᾳ τὸν κίνδυνον, Ἀπόλλων ἠναντιοῦτο περὶ τῆς κόρης βουλόμενος ἀφαρπάζειν αὐτήν. προϊόντων δὲ αὐτῶν εἰς μάχην, Ζεὺς δὲ πέμψας Ἑρμῆν, ἐπέτρεψε τῇ κόρῃ ἑλέσθαι ὃν ἂν βούλητο. ἡ δὲ εἵλετο τὴν Ἴδαν, εὐλαβηθεῖσα μὴ γηράσασαν αὐτὴν ἀπολίπῃ Ἀπόλλων. Εὐηνίνης.] τῆς Εὐήνου θυγατρός. Ἴδεώ τε.] τοῦ Ἴδου τοῦ Ἀφαρέως παιδός. καλλισφύρου.] εὐπρεποῦς, καλῆς, ἀπὸ μέρους. ἐπώνυμον.] ἀντὶ τοῦ φερώνυμον, καὶ ἀπὸ συμβεβηκότος οἰκείως κείμενον. τὴν Κλεοπάτραν ἥν φησι φερωνύμως καὶ Ἀλκυόνην ἐκάλουν διὰ τὸ τὴν μητέρα Μάρπισσαν δίκην ἀλκυόνος κλαῦσαι, ὅτε ἀφῃρεῖτο αὐτὴν Ἀπόλλων. Ἀλκυόνην καλέεσκον.] Κήϋξ ὁ Φωσφόρου τοῦ ἀστέρος γήμας Ἀλκυόνην τὴν Αἰόλου, μέγα φρονήσας ἐφ' ἑαυτῷ, θεὸς ἐβούλετο νομίζεσθαι. διόπερ ἥ τε γαμετὴ διαπαντὸς αὐτὸν ἐκάλει Δία· κἀκεῖνος Ἥραν τὴν γυναῖκα. Ζεὺς δὲ ἀγανακτήσας, μετέβαλεν αὐτοὺς εἰς ὄρνια χωρὶς ἀλλήλων βιοῦντα. ἐκλήθη δὲ ἡ μὲν Ἀλκυόνη, ὁ δὲ κήϋξ. παρὰ δὲ τοῖς αἰγιαλοῖς τῆς Ἀλκυόνος τικτούσης, συμβαίνει ἐπελθόντα τὰ κύματα, τὰ ἔγγονα αὐτῆς κατασύρειν. Ζεὺς δὲ θεασάμενος αὐτὴν ἐλεήσας, κατηλεήσας, ἐπέταξε τοῖς ἀνέμοις καθ' ὃν ἂν καιρὸν ἡ Ἀλκυόνη τίκτει μὴ πνεῖν, μέχρι τεσσαρεσκαίδεκα ἡμερῶν τοῦ χειμῶνος αὐξανομένου. εἴρηται δὲ Ἀλκυών, παρὰ τὸ ἐν ἁλὶ κύειν. οἱ οὖν γονεῖς ἀπὸ τῶν αὐτῇ συμβεβηκότων οὕτως ἐκάλουν αὐτὴν Κλεοπάτραν· ὡς Μεγαπένθην, καὶ Εὐρυσάκην, καὶ Νεοπτόλεμον. ἔκλαιεν οὖν τὸν ἄνδρα Ἴδαν, ὅτε αὐτὴν ἥρπασεν Ἀπόλλων. πολυπενθέος.] ἐπιπολὺ πενθούσης. οἶτον.] μόρον, συμφοράν. παρακατέλεκτο.] παρέκειτο. πέσσων.] πεπαίνων, παρηγορῶν, ἢ συνέχων. ἐξ ἀρέων μητρὸς κεχολωμένος.] διὰ τὰς τῆς μητρὸς κατάρας ὀργισμένος. ἀχέουσα.] λυπουμένη. κασιγνήτοιο φόνοιο.] διὰ τὸν φόνον τῶν ἀδελφῶν. ἀπέκτεινε μὲν γὰρ Μελέαγρος τοὺς μήτρωας. ἢ ἀντὶ τοῦ ὑπὲρ κασιγνητικοῦ φόνου, οὐ γὰρ εἷς ἦν ὁ ἀνῃρημένος τῆς Ἀλθαίας ἀδελφός, ἀλλὰ πλείους. Ἴφικλος, Πολυφάντης, Φάνης, Εὐρύπυλος, Πλήξιππος. πολυφόρβην.] πολλοὺς φέρουσαν, ὅθεν καὶ ἱπποφόρβια καλεῖται τὰ ἵππους τρέφοντα χωρία. χερσὶν ἀλοία.] ταῖς χερσὶν ἔτυπτεν. ὅθεν καὶ πατραλοίας ὁ τὸν πατέρα τύπτων. εὔχονται δὲ οἱ ἥρωες τοῖς μὲν οὐρανίοις θεοῖς ἄνω τὰς χεῖρας ἀνίσχοντες, μεγάλ' εὐχετόωντο ἕκαστος· τοῖς δὲ θαλασσίοις, πολλὰ δὲ μητέρι φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς, εἰς θάλασσαν δηλονότι. τοῖς καταχθονίοις δὲ κόπτοντες τὴν γῆν, ὡς ἐνθάδε φησί. κικλήσκουσα.] ἐπικαλουμένη. ἐπαινήν.] φοβεράν. πρόχνυ.] εἰς γόνατα. δεύοντο.] ἐβρέχοντο. ἠεροφοῖτις ἐρινύς.] ἐκ τοῦ σκότους ἐρχομένη, ἀόρατος. εἴρηται δὲ Ἐρινύς, ἤτοι παρὰ τὸ ἐν τῇ ἔρᾳ ναίειν καὶ οἰκεῖν· ὅ ἐστι τῇ γῇ· καταχθονία γὰρ ἡ δαίμων· ἢ οἱονεὶ ἐραυνύς τις οὖσα καὶ τὰ αἴσια ἀνύουσα καὶ ἐκτελοῦσα. ἐξ Ἐρέβευσφιν.] ἐκ τοῦ σκότους. ἀμείλιχον.] ἀπηνές, σκληρόν.

πιότατον.] λιπαρώτατον, εὔγειότατον. πεντηκοντόγυον.] πεντήκοντα γυῶν, ὅ ἐστι πλέθρων. γύης γὰρ μέτρον γῆς. οἱ δὲ πεντήκοντα ζευγῶν. οἰνοπέδοιο.] ἀμπελοφύτου χωρίου. ψιλὴν ἄροσιν.] τὴν ἄδενδρον χώραν τὴν πρὸς τὸ σπείρεσθαι ἐπιτηδείαν. ταμέσθαι.] ἀποτεμέσθαι, εἰς τιμὴν λαβεῖν. ἐπεμβεβαώς.] ἐπιβεβηκώς. σείων.] τινάσσων, κινῶν. κολλητὰς σανίδας.] περιφραστικῶς τὰς θύρας ἀπὸ τοῦ καλῶς συνηρμόσθαι. γουνούμενος.] ἱκετεύων. κασίγνηται.] ἀδελφαί. κεδνότατοι.] κηδεμονικώτατοι, προσφιλέστατοι.

πύκα.] συνεχῶς, πυκνῶς, ὅ ἐστιν ἐπιμελῶς. ἐνέπρηθον.] ἐνεπύριζον, ἔκαιον. κήδε.] τὸ τέλειον, κήδεα. ὅ ἐστι κακά.

ἁλώῃ.] ληφθείη, πορθηθείη. ἀμαθύνει.] κατὰ μικρὸν δαπανᾷ. ὅ ἐστιν ἄμαθον καὶ κόνιν ποιεῖν. ὠρίνετο.] ἀντὶ τοῦ ὠρίνθη, διεταράχθη. κακὰ ἔργα.] τὰ πολέμιά φησι κακὰ ἔργα. βῆ δ' ἴεναι.] ἐφορμήσας ἐπῆλθεν. εἴξας ᾧ θυμῷ.] νικηθεὶς ὑπὸ ἰδίας ἐπιθυμίας. φίλος.] φίλε, Ἀττικῶς. κάκιον.] ἀντὶ τοῦ κακόν. φθισήνορα.] τὸν φθαρτικὸν τῶν ἀνδρῶν. δύῃς.] κατέλθῃς. τιμῆς ἔσεαι.] τιμηθήσῃ. ἢ τίμιος ἔσῃ. ἀλαλκών.] βοηθήσας, ἐπαμύνας. ἄττα.] σοφέ. Θετταλῶν ἡ φωνή. καὶ ἔστι προσφώνησις νεωτέρου πρὸς πρεσβύτερον. τοῦτο δὲ ὑπερβιβάσαντες, τέττα λέγουσιν ὅ ἐστιν ἑταῖρε. οὔ τι με ταύτης χρεὼ τιμῆς.] οὐ χρείαν ἔχω δέ τι τῶν Ἑλλήνων καὶ δὲ Ἀγαμέμνονος τιμῆς. καὶ ἔστι σολοικισμὸς παρὰ τὰς πτώσεις. φρονέω.] φρονῶ, βουλεύομαι. Διὸς αἴσῃ.] τῇ τοῦ Διὸς βουλήσει. ἀϋτμή.] ἀναπνοή, ζωή. ὀρώρῃ.] κινῆται. σύγχει.] ταράττε, λύπει. ἀχεύων.] λυπούμενος. ἀπέχθηαι.] ἐχθρὸς γένῃ. κήδειν.] λυπεῖν, βλάπτειν. ἶσον.] ὁμοίως. μείρεο.] μερίζου. οὗτοι δ' ἀγγελέουσι.] διατί τὸν Φοίνικα οὐκ ἀπολύει ὁ Ἀχιλλεύς. ὅτι γοῦν παρακεκλῆσθαι αὐτὸν ἡγήσασθαι τῇ πρεσβείᾳ ἐφοβήθη μὴ μετὰ μείζονος δεήσεως πάλιν ἐκπεμφθῇ. καὶ δὶς ἀτιμάζειν ἀνάγκην ἕξει. οἱ δὲ ὡς ὁμολογούμενον αὐτὸ λαμβάνουσιν. ὅτι ὡς τροφέα αὐτὸν κατέχει.

λέξεο.] κατακλίθητι. μαλακῇ.] ἁπαλῇ. ἐφ' ἡμέτερα.] ἀντὶ τοῦ εἰς τὰ ἡμέτερα. στορέσαι.] στρῶσαι. πυκινόν.] πυκνὸν ἱμάτιον.

μεδοίατο.]

Ὁππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς.
Ἔνθα μιν ἤνωγον τέμενος περικαλλὲς ἑλέσθαι
Πεντηκοντόγυον. τὸ μὲν ἥμισυ οἰνοπέδοιο,
Ἥμισυ δὲ, ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι.
Πολλὰ δέ μιν λιτάνευε γέρων ἱππηλάτα Οἰνεὺς
Οὐδοῦ ἐπεμβεβαὼς ὑψηρεφέος θαλάμοιο,
Σείων κολλητὰς σανίδας, γουνούμενος υἱόν.
Πολλὰ δὲ τόν γε κασίγνηται, καὶ πότνια μήτηρ,
Ἐλίσσονθ', ὁ δὲ, μᾶλλον ἀναίνετο, πολλὰ δ' ἑταῖροι,
Οἵ οἱ κεδνότατοι, καὶ φίλτατοι ἦσαν ἁπάντων.
Ἀλλ' οὐδ' ὡς τοῦ, θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.
Πρίν γ' ὅτε δὴ θάλαμος πύκα βάλλετο. τοὶ δ' ἐπὶ πύργων
Βαῖνον Κουρῆτες. καὶ ἐνέπρηθον μέγα ἄστυ.
Καὶ τότε δὴ Μελέαγρον ἐΰζωνος παράκοιτις,
Λίσσετ' ὀδυρομένη, καί οἱ κατέλεξεν ἅπαντα
Κήδε', ὅσ' ἀνθρώποισι πέλει, τῶν ἄστυ ἁλώῃ.
Ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
Τέκνα δέ τ' ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας.
Τοῦ δ' ὠρίνετο θυμὸς ἀκούοντος κακὰ ἔργα.
Βῆ δ' ἰέναι. χροῒ δ' ἔντε' ἐδύσετο παμφανόωντα.
Ὣς ὁ μὲν Αἰτωλοῖσιν ἀπήμυνε κακὸν ἦμαρ,
Εἴξας ᾧ θυμῷ, τῷ δ' οὐκέτι δῶρ' ἐτέλεσσαν
Πολλά τε καὶ χαρίεντα. κακὸν δ' ἤμυνε καὶ αὔτως.
Ἀλλὰ σὺ μή μοι ταῦτα νόει φρεσί. μὴ δέ σε δαίμων
Ἐνταῦθα τρέψειε φίλος. κάκιον δέ κεν εἴη
Νηυσὶ καιομένῃσιν ἀμυνέμεν, ἀλλ' ἐπὶ δώροις
Ἔρχεο. ἶσον γάρ σε θεῷ τίσουσιν Ἀχαιοί.
Εἰ δέ κ' ἄτερ δώρων πόλεμον φθισήνορα δύῃς.
Οὐκ ἔθ' ὁμῶς τιμῆς ἔσεαι. πόλεμόν περ ἀλαλκών.

Τὸν δ' ἀπαμειβόμενος, προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Φοῖνιξ ἄττα γεραιὲ, διοτρεφὲς. οὔ τί με ταύτης
Χρεὼ τιμῆς. φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ,
Ἥ μ' ἕξει παρὰ νηυσὶ κορωνίσιν, εἰς ὅ κ' ἀϋτμὴ
Ἐν στήθεσσι μένῃ, καί μοι φίλα γούνατ' ὀρώρῃ.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι.
Μή μοι σύγχει θυμὸν ὀδυρόμενος, καὶ ἀχεύων,
Ἀτρείδῃ ἥρωϊ φέρων χάριν. οὐδέ τί σε χρὴ
Τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι.
Καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν, ὅς κε με κήδῃ.
Ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς.
Οὗτοι δ' ἀγγελέουσι. σὺ δ' αὐτόθι λέξεο μίμνων
Εὐνῇ ἐνὶ μαλακῇ, ἅμα δ' ἠοῖ φαινομένηφι,
Φρασσόμεθ' ἤ κε νεώμεθ' ἐφ' ἡμέτερ'. ἦ κε μένωμεν.
Ἦ καὶ Πατρόκλῳ ὅ γ' ἐπ' ὀφρύσι νεῦσε σιωπῇ,
Φοίνικι στορέσαι πυκινὸν λέχος, ὄφρα τάχιστα

Ἐκ κλι-

Ἐκ κλισίης νόστοιο μεδοίατο· τοῖσι δ' ἄρ Αἴας
Ἀντίθεος Τελαμωνιάδης μετὰ μῦθον ἔειπε·
Διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσεῦ,
ἴομεν, οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
τῇδέ γ' ὁδῷ κρανέεσθαι, ἀπαγγεῖλαι δὲ τάχιστα
χρὴ μῦθον Δαναοῖσι καὶ οὐκ ἀγαθόν περ ἐόντα,
οἵ που νῦν ἕαται ποτιδέγμενοι. αὐτὰρ Ἀχιλλεὺς,
ἄγριον ἐν στήθεσι θέτο μεγαλήτορα θυμόν,
σχέτλιος, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων,
τῆς, ᾗ μιν παρὰ νηυσὶν ἐτίομεν ἔξοχον ἄλλων.
νηλής. καὶ μέν τίς τε κασιγνήτοιο φόνοιο
ποινὴν, ἢ οὗ παιδὸς ἐδέξατο τεθνειῶτος.
καί ῥ' ὁ μὲν, ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτίσας.
τοῦ δέ τ' ἐρητύεται κραδίη, καὶ θυμὸς ἀγήνωρ,
ποινὴν δεξαμένου. σοὶ δ' ἄληκτόν τε, κακόν τε
θυμὸν ἐνὶ στήθεσι θεοὶ θέσαν εἵνεκα κόρης
οἴης. νῦν δέ τοι ἑπτὰ παρίσχομεν ἔξοχ' ἀρίστας,
ἄλλα τε πόλλ' ἐπὶ τῇσι. σὺ δ' ἵλαον ἔνθεο θυμόν.
αἴδεσαι δὲ μέλαθρον, ὑπωρόφιοι δέ τοι εἰμεν
πληθύος ἐκ Δαναῶν, μέμαμεν δέ τοι ἔξοχον ἄλλων,
κήδιστοί τ' ἔμεναι, καὶ φίλτατοι, ὅσοι Ἀχαιοί.
Τὸν δ' ἀπαμειβόμενος, προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Αἶαν διογενὲς, Τελαμώνιε, κοίρανε λαῶν,
πάντα τί μοι κατὰ θυμὸν ἐείσω μυθήσασθαι.
ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότ' ἐκείνου
μνήσομαι, ὥς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν
Ἀτρεΐδης, ὡς εἴ τιν' ἀτίμητον μετανάστην.
ἀλλ' ὑμεῖς ἔρχεσθε, καὶ ἀγγελίην ἀπόφασθε.
οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος,
πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος Ἕκτορα δῖον
Μυρμιδόνων ἐπί τε κλισίας, καὶ νῆας ἱκέσθαι
κτείνοντ' Ἀργείους, κατά τε σμῦξαι πυρὶ νῆας.
ἀμφὶ δέ τοι τ' ἡμῇ κλισίῃ, καὶ νηῒ μελαίνῃ
Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω.
Ὣς ἔφαθ', οἱ δὲ, ἕκαστος ἑλὼν δέπας ἀμφικύπελλον,
σπείσαντες, παρὰ νῆας ἴσαν πάλιν, ἦρχε δ' Ὀδυσσεύς.
Πάτροκλος δ' ἑτάροισιν, ἰδὲ δμῳῇσι κέλευσε
Φοίνικι στορέσαι πυκινὸν λέχος ὅττι τάχιστα.
αἱ δ' ἐπιπειθόμεναι, στόρεσαν λέχος ὡς ἐκέλευσε,
κώεά τε, ῥῆγός τε, λίνοιό τε λεπτὸν ἄωτον.
ἔνθ' ὁ γέρων κατέλεκτο καὶ ἠῶ δῖαν ἔμιμνεν.
αὐτὰρ Ἀχιλλεὺς, εὗδε μυχῷ κλισίης εὐπήκτου.
τῷ δ' ἄρα παρκατέλεκτο γυνή, τὴν Λεσβόθεν ἦγε
Φόρβαντος θυγάτηρ Διομήδη καλλιπάρῃος.
Πάτροκλος δ' ἑτέρωθεν ἐλέξατο, πὰρ δ' ἄρα καὶ τῷ,
Ἶφις ἐΰζωνος, τήν οἱ πόρε δῖος Ἀχιλλεὺς,

μεδοίατο.] πρόνοιαν ποιήσαιντο. φροντίσαιεν. μύθοιο τελευτή.] τὸ τέλος τοῦ λόγου. κρανέεσθαι.] τέλος λήψεσθαι. τελειωθήσεσθαι. μετατρέπεται.] ἐπιστροφὴν ποιεῖται. φροντίζει. νηλής.] ἀνηλεής. σκληρός. ποινήν.] ἀντέκτισιν. τιμωρίαν. ἔλαβέ τις ὑπὲρ ἀδελφικοῦ φόνου. ἄληκτον.] ἀκατάπαυστον. ἀθεράπευτον. εἵνεκα κούρης οἴης.] ἤτοι ὁποίας εἰρωνικῶς. ἢ μιᾶς κόρης. ἐπὶ τῇσι.] πρὸς ταύταις. ἵλαον.] ἵλεων. εὐμενῆ. ἔνθεο.] ποίησον. αἴδεσαι.] αἰδέσθητι. μέλαθρον.] συνεκδοχικῶς οἰκίαν. ὑπωρόφιοι.] ὑπὸ τὴν αὐτὴν στέγην. κήδιστοι.] οἰκειότατοι, φροντιστικώτατοι. πάντα τί μοι κατὰ θυμὸν ἐείσω.] ἅπαντά μοι καθηκόντως ἔδοξας εἰρηκέναι. οἰδάνεται.] πληροῦνται ὑπὸ ὀργῆς. ἐκ μεταφορᾶς τῶν φλεγμονῆς ἢ καμεῖται οἴδημα. ἀσύφηλον.] ἀδόκιμον. ἀμαθῆ. οἱ δὲ ἀντὶ τοῦ ἀσυφήλως ὅ ἐστιν ὑβριστικῶς. ἀτίμητον.] ἄτιμον, ἢ τὸν ἐν τιμήματι πολιτείας οὐ συναριθμούμενον. τιμητικοὶ γὰρ ἐκαλοῦντο οἱ ἐν ταῖς πολιτείαις. μετανάστην.] μέτοικον. φυγάδα. ἀπόφασθε.] ἀπαγγείλατε. μεδήσομαι.] πρόνοιαν ποιήσομαι. κατά τε σμύξαι.] κατακαῦσαι. σχήσεσθαι.] ἀποσχεθῆναι. κώεα.] κώδια, ὅ ἐστι προβάτων δέρματα. καὶ εἴρηται ἀπὸ τοῦ ἐγκεῖσθαι, ὅ ἐστιν ἐγκοιμᾶσθαι. ῥῆγος.] τὸ βεβαμμένον ἱμάτιον. καὶ ῥηγεῖς οἱ βαφεῖς. λίνοιό τε λεπτὸν ἄωτον.] περιφραστικῶς λινοῦν περιβόλαιον.

μυχῷ κλισίης.] ἐν τῷ ἐνδοτάτῳ τόπῳ τῆς σκηνῆς. παρακατέλεκτο.] παρεκοιμήθη. παρεκλίθη. Λεσβόθεν.] Λέσβος νῆσος πλησίον Ἀσίας.

Σκῦρον.] Σκῦρος πόλις ἐστὶ νῦν μὲν Φρυγίας, πρότερον δὲ Κιλικίας. ἔστι καὶ νῆσος τῶν Κυκλάδων. ἣν οὐ πορθήσας ἀλλ' εἰρηνικῶς καταδραμὼν ἐλαφυραγώγησεν. αἰπεῖαν.] ὑψηλήν. Ἐνυῆος πτολίεθρον.] ὑπὸ Ἐνυέως βασιλευθεῖσαν. ἦν δὲ οὗτος υἱὸς Διονύσου. κυπέλλοις.] ποτηρίοις. παρὰ τὴν κοιλότητα. ἀνασταδόν.] ἀναστάντες. πολύαινε.] πολλοῦ ἐπαίνου ἄξιε. ἀπέειπεν.] ἀπηγόρευσε. σβέσαι.] καταπαῦσαι. ἡ μεταφορὰ ἀπὸ τοῦ πυρός. πιμπλάνεται μένεος.] πληροῦται ὀργῆς. σὲ δ' ἀναίνεται.] σὲ δὲ παραιτεῖται ἐκφαυλίζων. οὐ παραπρεσβεύει δὲ Ὀδυσσεύς, ἀλλ' ἃ πρὸς αὐτὸν εἶπεν ὁ Ἀχιλλεὺς ταῦτα ἀναγγέλλει. ζητεῖται δὲ διατί καὶ τὴν πρὸς Αἴαντα Ἀχιλλέως ἀπόκρισιν Ὀδυσσεὺς οὐ λέγει. ῥητέον οὖν ὅτι σκληρῶς αὐτῷ ἀπεκρίνατο. λεκτέον δὲ καὶ πρὸς τοὺς ζητοῦντας τίνος ἕνεκεν ἄλλοι τινὲς οὐκ ἐπρέσβευσαν ἀλλ' οὗτοι. ὡς οἰκειότεροι τῶν ἄλλων καὶ φρονιμώτεροι καὶ ἱκανοὶ τὸ δυσπειθὲς ἴσως παῦσαι τοῦ ἥρωος. ἠπείλησε.] διωρήσατο. εἶπε. χεῖρα ἑὴν ὑπερέσχεν.] ὑπερασπίζει αὐτῶν. δήετον.] εὑρήσετε. ὅθεν καὶ τὴν Δήμητρα Δηὼ λέγουσι. διὰ τὸ τοὺς ἐντυχάνοντας αὐτῇ ζητούσῃ τὴν θυγατέρα λέγειν δήεις ὅ ἐστιν εὑρήσεις. Αἴας καὶ κήρυκε δύω.] θέλων τὸν Ἀγαμέμνονα σκέψασθαι περὶ τῶν πρακτέων ἐνεχείρησε τὸν Αἴαντα σιωπᾶν.] τετιηότες.] τετιμωρημένοι. μὴ ὄφελες.] ἀντὶ τοῦ μὴ ὤφειλες. ἀεὶ δὲ ἀντιστασιώτης τοῦ Ἀχιλλέως ὁ Διομήδης εὑρίσκεται. ἀγήνωρ.] ἄγαν αὐθάδης, καὶ ὑπερόπτης. ὑβριστής. ἢ ὁ ἀγαπῶν τὴν ἠνορέην ἤγουν τὴν ἀνδρείαν. ἀγηνορίῃσιν ἐνῆκας.] αὐθάδη νῦν ἐποίησας αὐτὸν πλέον καὶ ὑπερήφανον. ἴῃσιν.] ἀπέλθῃ. ἤ κε μένῃ. ἐὰν μένῃ. τότε δ' αὖτε μαχήσεται.] εἰκὸς Αἴαντος αὐτῷ νεύσαντος ὅτι μένει δευτερεύοντα προσθεῖναι αὐτά. τεταρπόμενοι.] εἰς τέρψιν ἐληλυθότες. κεκορεσμένοι. τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.] τοῦτο γὰρ δυνάμεώς ἐστιν. ὕπνου δῶρον.] ἀνάπαυσιν τοῦ ὕπνου, περιφραστικῶς.

Σκῦρον ἑλὼν αἰπεῖαν Ἐνυῆος πτολίεθρον.
Οἱ δ' ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρεΐδαο γένοντο,
Τοὺς μὲν ἄρα χρυσέοισιν κυπέλλοις υἷες Ἀχαιῶν
Δειδέχατ' ἄλλοθεν ἄλλος ἀνασταδόν, ἔκ τ' ἐρέοντο.
Πρῶτος δ' ἐξερέεινεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Εἴπ' ἄγε μ' ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
Ἤ ῥ' ἐθέλει νήεσσιν ἀμυνέμεναι δήϊον πῦρ,
Ἦ ἀπέειπε, χόλος δ' ἔτ' ἔχει μεγαλήτορα θυμόν;
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς.
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Κεῖνος δ' οὐκ ἐθέλει σβέσσαι χόλον, ἀλλ' ἔτι μᾶλλον
Πιμπλάνεται μένεος, σὲ δ' ἀναίνεται, ἠδὲ σὰ δῶρα.
Αὐτόν σε φράζεσθαι ἅμ' Ἀργείοισιν ἄνωγεν.
Ὅππως κεν νῆάς τε σόοις, καὶ λαὸν Ἀχαιῶν.
Αὐτὸς δ' ἠπείλησεν ἅμ' ἠοῖ φαινομένηφι
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας.
Καὶ δ' ἂν τοῖς ἄλλοισιν ἔφη παραμυθήσασθαι
Οἴκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς. μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺς
Χεῖρα ἑὴν ὑπερέσχε. τεθαρσήκασι δὲ λαοί.
Ὣς ἔφατ', εἰσὶ καὶ οἵδε τάδ' εἰπέμεν, οἵ μοι ἕποντο.
Αἴας, καὶ κήρυκε δύω πεπνυμένω ἄμφω.
Φοῖνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο. ὣς γὰρ ἀνώγει,
Ὄφρα οἱ ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται
Αὔριον, ἢν ἐθέλῃσιν ἀνάγκῃ δ' οὔτι μιν ἄξει.
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
Μῦθον ἀγασσάμενοι, μάλα γὰρ κρατερῶς ἀγόρευσε.
Δὴν δ' ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν.
Ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης.
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλεΐωνα,
Μυρία δῶρα διδοὺς, ὁ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλως.
Νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃσιν ἐνῆκας.
Ἀλλ' ἤτοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἴῃσιν,
Ἤ κε μένῃ. τότε δ' αὖτε μαχήσεται ὁππότε κέν μιν
Θυμὸς ἐνὶ στήθεσσιν ἀνώγῃ καὶ θεὸς ὄρσῃ.
Ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
Νῦν μὲν κοιμήσασθε τεταρπόμενοι φίλον ἦτορ,
Σίτου, καὶ οἴνοιο. τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.
Αὐτὰρ ἐπεί κε φανῇ καλὴ ῥοδοδάκτυλος Ἠώς
Καρπαλίμως πρὸ νεῶν ἐχέμεν λαόν τε, καὶ ἵππους
Ὀτρύνων, καὶ δ' αὐτὸς ἐνὶ πρώτοισι μάχεσθαι.
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνησαν βασιλῆες,
Μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
Καὶ τότε δὴ σπείσαντες, ἔβαν κλισίην δὲ ἕκαστος.
Ἔνθα δ' ἐκοιμήσαντο, καὶ ὕπνου δῶρον ἕλοντο.